

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ΤΑΞΙΝ. ΑΡ.
880.8
ΣΥΛ
Βιβλίο εισαγωγής 694

# ΣΥΛΛΟΓΗ
# ΕΛΛΗΝΙΚΩΝ
# ΜΑΘΗΜΑΤΩΝ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΣΧΟΛΕΙΩΝ

ΥΠΟ

ΖΑΧΑΡΙΟΥ Δ. ΛΑΜΠΙΣΗ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΥΠΟΥΡΓΕΙΟ ΠΟΛΙΤΙΣΜΟΥ & ΕΠΙΣΤΗΜΩΝ
Δ. Κ. ΒΙΒΛΙΟΘΗΚΗ ΝΑΥΠΑΚΤΟΥ

ΑΠΟ ΒΙΒΛΙΟΘΗΚΗ
"ΓΙΑΝΝΗ ΒΛΑΧΟΓΙΑΝΝΗ"
Αὐξ. Ἀριθμὸς 694
Ἡμερ. Εἰσαγωγῆς 1-12-1981

ΣΜΥΡΝΗ.

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ ΦΙΛΟΛΟΓΙΑΣ
(Διευθυνομένου ὑπὸ Σ. Ἀθανασιάδου)

1842.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Συνελὼν τοίνυν ἐγώ φημι, καὶ χρησμολογεῖν μᾶλλον, ἢ παραινεῖν δόξαιμ' ἂν εἰκότως, ὅτι ἓν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον ἀγωγὴ σπουδαία, καὶ παιδεία νόμιμός ἐστι. Καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν, καὶ πρὸς εὐδαιμονίαν φημί. Καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώπινα καὶ μικρὰ, καὶ οὐκ ἀξιοσπούδαστα καθέστηκε... Παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον.

Πλούταρχ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ΤΩι ΕΝ ΣΜΥΡΝΗι ΕΚΛΑΜΠΡΟΤΑΤΩι

ΠΡΟΞΕΝΩι ΤΩΝ ΚΑΤΩ ΧΩΡΩΝ

ΚΥΡΙΩι Ι. ΒΑΝΛΕΝΝΕΠ

ΚΑΙ ΤΟΙΣ ΦΙΛΟΜΟΥΣΟΤΑΤΟΙΣ ΑΔΕΛΦΙΔΟΙΣ ΑΥΤΟΥ

ΤΑΥΤΗΝΙ ΤΗΝ ΒΙΒΛΟΝ

ΑΝΑΤΙΘΗΣΙΝ Ο ΕΚΔΟΤΗΣ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ΕΥΓΕΝΕΣΤΑΤΟΙ ΚΥΡΙΟΙ ΒΑΝΔΕΝΝΕΠ.

Οὔτε διὰ τὰ πλούτη σας, οὔτε διὰ τὴν ἄλλην περὶ τὸν οἶκον λαμπρότητα τοσοῦτον ἀξιότιμον κατέστη τὸ ὄνομά σας, ὅσον διὰ τὸν περὶ τὰ καλὰ πάτριον ζῆλόν σας. Πρῶτοι ὑμεῖς, μεταξὺ τῶν συμπολιτῶν μας, ἀναφαινόμενοι εἰς τὴν σύμπραξιν ὁποιουδήποτε κοινοῦ ἀγαθοῦ, ἀπεκτήσατε πρὸ πολλοῦ καὶ τὴν ἀγάπην, καὶ τὴν ὑπόληψιν, καὶ δικαιώματα εὐγνωμοσύνης, ἀπὸ μέρους ὅλων.

Ἡ μικρὰ αὕτη Συλλογὴ τῶν Ἑλληνικῶν Μαθημάτων προσφέρεται εἰς ὑμᾶς ὡς μικρὸν τεκμήριον εὐχαριστίας διὰ τὸν μέγαν ἐξόχως φιλελληνισμόν σας, καὶ διὰ τὴν ὁποίαν δεικνύετε προστασίαν εἰς τὰς Μούσας. Δέξασθε αὐτὴν μετὰ τῆς συνήθους φιλοκαλίας σας, καὶ εὐτυχεῖτε, γιγνόμενοι παράδειγμα καὶ εἰς ἄλλους φιλέλληνας συμπολίτας μας.

Ζ. Λαμπίσης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

# ΠΡΟΛΟΓΟΣ·

Εὔωνον καὶ εὐσύνοπτον Συλλογὴν Ἑλληνικῶν Μαθημάτων ἐπιθυμῶν νὰ προμηθεύσω εἰς τὴν σπουδάζουσαν Νεολαίαν μας, ἐπεχειρίσθην τὴν ἔκδοσιν τῆς παρούσης. Εἶμαι μακρὰν βέβαια τῆς ἰδίας τοῦ νὰ φαντασθῶ ὅτι αὕτη ἀνεπλήρωσεν ἐλλείψεις ἄλλων προγενομένων, καὶ ὁμολογῶ παῤῥησία ὅτι ὁ σκοπός μου εἰς τὴν ἔκδοσιν αὐτῆς ἄλλος δὲν ἦτον, εἰμὴ νὰ πολυπλασιάσω μόνον εἰς τὰς χεῖρας τῆς τρυφερᾶς Νεολαίας τὴν σειρὰν τῶν Ἑλληνικῶν Μαθημάτων της, ἐξαλαφρύνων αὐτὴν ἀπὸ τὸν περιττὸν τῆς ἀντιγραφῆς κόπον. — Δὲν μὲ λανθάνει ὅτι ἐντελὴς τοιούτου εἴδους ἔκδοσις ἀπήτει καὶ πολλὰ ἄλλα μέσα, ἅτινα ὅμως καθίστανται ἔτι μᾶλλον δύσκολα εἰς μέρη, ὅπου καὶ αἱ Βιβλιοθῆκαι καὶ τὰ Τυπογραφεῖά μας συμβαδίζουσι μὲ τὴν κοινήν μας πρόοδον.

Τὴν ὅλην Συλλογὴν τῶν Ἑλληνικῶν Μαθημάτων διήρεσα εἰς δύο Τόμους, καὶ εἰς μὲν τὸν Α΄. ἤρχισα ἐκ τῶν παραδειγμάτων τῶν Κλίσεων καὶ Ῥημάτων, κατὰ τὴν εἰς τὰ σχολεῖά μας προκύψασαν ἤδη συνήθειαν, καὶ προεχώρησα μέχρι τῶν Ἀπομνημονευμάτων τοῦ Ξενοφῶντος, καί τινων ἀποσπασμάτων Διοδώρου τοῦ Σικελιώτου, εἰς δὲ τὸν Β΄. κατεχώρησα τοὺς λόγους τῶν περιφημοτέρων Ῥητόρων, καί τινας ἐκ τῶν τοῦ Πλάτωνος διαλόγων. Ἐν τῷ τέλει δ' αὐτοῦ προσέθεσα καὶ λεξικὸν τῶν Κυρίων ὀνομάτων, καὶ ἕτερον, τῶν δεινοτέρων λέξεων (*), καθὼς ἀκόμη καὶ ἰδιαι-

---

(*) Κατ' ἀρχὰς καὶ τὰ δύο ἐνόμισα περιττά, ἀκολούθως ὅμως συλλογιζόμενος τὴν ὁποίαν πάσχομεν ἔλλειψιν τῶν τελείων Μυθικο-Ἱστορικο--Γεωγραφικῶν λεξικῶν, καὶ τὴν ὁποίαν ὡς ἐκ τούτου δοκιμάζουσιν οἱ Μαθηταὶ δυσκολίαν εἰς τὴν εὕρεσιν τῶν ἐν τῷ κειμένῳ Κυρίων Ὀνομάτων, ἐνόμισα καλὸν νὰ καταχωρήσω καὶ τοιοῦτον Λεξικόν, εἰς τὸ ὁποῖον προσέθεσα καὶ ἐπιτομήν τινα Λεξικοῦ τῶν δεινοτέρων λέξεων, πρὸς πλειοτέραν τῶν Μαθητῶν [illegible]

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τέρους Πίνακας περὶ τῶν φυλῶν, τῶν μηνῶν, τῶν μέτρων καὶ τῶν τοιούτων. Σημειώσεις δὲ εἰς τὸν Α'. τόμον ἔκρινα διόλου περιττάς, διότι διὰ τοὺς ἀρχαρίους παῖδας ἀρκεῖ ἡ ἁπλῆ τῶν διδασκάλων των ἐξήγησις, διὰ τοὺς προχωρημένους ὅμως κατεχώρησα τινὰς εἰς τὸν Β'. τόμον, ἐκ τῶν ἀρίστων ἐκδοτῶν, καὶ ὀλίγας οἰκείας.

Αἱ ἐπιτομικαὶ ἐκδόσεις κυρίως γίγνονται διὰ τοὺς μαθητὰς τῶν Σχολείων, οἵτινες δύσκολον εἶναι νὰ ἔχωσιν ὁλοκλήρους τὰς ἐκδόσεις τῶν Συγγραφέων. Ἀλλ' οἱ τὸ ὑψηλὸν τῆς διδασκαλίας ἐπάγγελμα μετερχόμενοι, γνωρίζουσι βέβαια πόσον μεγάλη ἀνάγκη εἶναι νὰ ἔχωσιν ὅλας τὰς ἀρίστας ἐκδόσεις τῶν Συγγραφέων, τὰς ὁποίας νὰ μελετῶσι πρὸ τῆς παραδόσεως. Καὶ μ' ὅλα ταῦτα ὅμως βιβλιάρια πρὸς εὐκολίαν τῶν μαθητῶν ἁπλῶς γενόμενα, χρησιμεύουσι πολλαχοῦ εἰς τοὺς διδασκάλους ὡς τὰ μόνα τελειοποιητικὰ μέσα τῶν Μαθητῶν των εἰς τὴν σπουδὴν τῆς Ἑλληνικῆς γλώσσης. Δύσκολον βέβαια, ὡς ἐκ τῶν περιστάσεων πολλῶν (ὁμιλῶ διὰ τὰ μέρη μας), ὅλοι οἱ διδάσκαλοι νὰ ἔχωσι, παρεκτὸς τῶν λοιπῶν ἀναγκαίων, καὶ τὴν σειρὰν τῶν Ἑλλήνων συγγραφέων, ἀλλὰ τὸ πρᾶγμα δὲν ἤθελεν εἶσθαι τοσοῦτον δυσθεράπευτον, ἂν ὅλοι ἐν γένει συνεφώνουν νὰ μὴ δέχωνται τὴν προσφερομένην θέσιν εἰς οὐδεμίαν πόλιν, ἀνίσως τὸ κοινὸν αὐτῆς δὲν στέρξῃ, διὰ μικροτάτης τωόντι δαπάνης, νὰ προμηθεύσῃ εἰς τὸ Σχολεῖον, ἂν οὐχὶ ἕτερόν τι κατὰ πρῶτον, τὰς ἐκδόσεις τουλάχιστον τῶν ἐπισημοτέρων Ἑλλήνων Συγγραφέων. Σχολεῖον Ἑλληνικόν, τοὺς Ἕλληνας στερούμενον Συγγραφεῖς, εἶναι πασίγνωστον ὅτι οὔτε τοῦ ὀνόματος εἶναι ἄξιον, οὔτε τιμὴν φέρει εἰς τὴν ἔχουσαν αὐτὸ πόλιν, καὶ τοιαῦτα (καὶ διὰ ἄλλας αἰτίας ἀκόμη) εἶναι κατὰ δυστυχίαν τὰ πλειότερα.

Οὔτε τολμηρός, στοχάζομαι, ἤθελε φανῆν, οὔτε ὡς ἐγγίζων παρακαίρως τὴν χορδὴν ταύτην, ἄν, καθ' ἣν ἐποχὴν λόγος πολὺς γίγνεται περὶ Παιδείας, ἐξεφράζετό τις ἐλευθέρως τὴν γνώμην του περὶ τῆς καταστάσεως ἐν γένει ὅλων τῶν εἰς τὰ μέρη μας Ἑλληνικῶν Σχολείων. — Ἀξιέπαινος τωόντι ζῆλος καὶ εὐγενὴς ἅμιλλα διεδόθη κατὰ τοὺς τελευταίους τούτους χρόνους καὶ εἰς τὰ μέρη μας, καὶ παντα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Πανελλήνιος ... Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

χοῦ συνεστήθησαν διάφορα Ἑλληνικὰ σχολεῖα. Παρὰ τὴν σύστασιν αὐτῶν ὅμως ἄλλος λόγος δὲν ἔγινεν οὔτε περὶ τῆς προόδου αὐτῶν, οὔτε περὶ τῆς μεθόδου κἂν, τὴν ὁποίαν ἐν αὐτοῖς μεταχειρίζονται. Καὶ ἐνῷ τὸ ἔθνος ὅλον γιγαντιαίως προχωρεῖ, μὲ πόνον τῆς ψυχῆς, εἰς πολλὰ τούτων, βλέπει τις τὴν ἐνυπάρχουσαν ἀμεθοδίαν, καὶ τὴν ὡς ἐπῳδὸν καταντήσασαν παράδοσιν τῶν Μαθημάτων, ἐξ ἧς ἡ σπουδὴ τῆς Ἑλληνικῆς γλώσσης, δύσκολος οὖσα καθ' ἑαυτήν, καθίσταται δυσκολωτέρα, καὶ ἑπομένως μικρὰ ἢ οὐδεμία προκύπτει ὠφέλεια.— Καὶ πρῶτον—εἴτε ἐκ προλήψεως, εἴτε ἐξ ἄλλης αἰτίας, οὐδὲ μικρὸς γίγνεται λόγος ἐν αὐτοῖς περὶ τῆς Νεωτέρας Ἑλληνικῆς, ἐνῷ ἐκ τοῦ ἐναντίου ἡ πεῖρα ἐναργῶς ἀπέδειξεν ὅτι διὰ νὰ μὴ δοκιμάζωσιν εἰς τὴν ἀρχὴν τοσαύτην δυσκολίαν οἱ παῖδες, καὶ ἑπομένως νὰ μὴ συμβαίνῃ ἡ συνήθης ματαιοπονία εἰς ὅλους μας, χρεία μεγίστη νὰ προγυμνάζωνται εἰς τὰ δημοτικὰ κατ' ἀρχὰς σχολεῖα εἰς αὐτὴν τὴν γλῶσσάν των, καὶ οἱ διδάσκαλοι νὰ φροντίζωσι πρὸ πάντων ὥστε οἱ παῖδες γυμναζόμενοι εἰς τὸ ἀναγινώσκειν, νὰ ἐννοῶσι κατὰ πρῶτον ὅλας τὰς λέξεις, καὶ ἑπομένως ὅλον τὸ νόημα, καθὼς ἀκόμη καὶ οἱ πλέον προχωρημένοι νὰ συνθέτωσιν εἰς τὴν μητρικήν των γλῶσσαν· καὶ τοῦτο νὰ ἐξακολουθῆται καὶ εἰς τὸ Ἑλληνικὸν Σχολεῖον δὶς καὶ τρὶς τῆς ἑβδομάδος (*), καὶ μετὰ πλειοτέρας ἀκριβείας. Ἐκ τῆς ἐλλείψεως τῆς ἀρχῆς ταύτης ὅμως καὶ ἐκ τῆς συνήθους ἀδιαφορίας μας περὶ τῶν εἰσερχομένων εἰς τὸ Ἑλληνικὸν μάθημα, τί προκύπτει; Ἐκ διακοσίων καὶ τριακοσίων Μαθητῶν Ἑλληνικοῦ σχολείου, μόλις μετὰ παρέ-

(*) Ἐνταῦθα ἴσως τινὲς δύνανται ν' ἀντείπωσιν ὅτι ἄνευ τῆς Γραμματικῆς καὶ τοῦ Συντακτικοῦ πῶς εἶναι δυνατὸν νὰ συνθέσωσιν οἱ παῖδες εἰς τὴν γλῶσσάν των; Ἀλλὰ τοῦτο εἶναι καὶ τὸ ἡμέτερον νόημα, ὅτιδιατί νὰ μὴ διδάσκωνται οἱ παῖδες κατὰ πρῶτον, εἴτε εἰς τὰ Δημοτικά, εἴτε εἰς τὰ Ἑλληνικὰ σχολεῖα, ἁπλουστάτας τινὰς καὶ συντομωτάτας ἀρχὰς τῆς Γραμματικῆς καὶ τοῦ Συντακτικοῦ τῆς γλώσσης των; ἢ μήπως, ἀφοῦ κατατρίψωσιν ἀνωφελῶς (διὰ τὴν ἐπιπολάζουσαν ἀμεθοδίαν) ἀρκετοὺς χρόνους εἰς τὴν ξηρὰν μόνον Γραμματικὴν καὶ τὸ Συντακτικὸν τῆς ἀρχαίας Ἑλληνικῆς, δύνανται καὶ πάλιν νὰ κατασταθῶσιν ἱκανοὶ ἂν νοῶσι καὶ νὰ συνθέτωσι τὴν γλῶσσάν των;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λευσιν χρόνου τινός, οἱ δέκα, οἱ εὐφυέστεροι καὶ ἐπιμελέστεροι προώδευσαν ἱκανῶς, οἱ λοιποί, καὶ μ' ὅλον ὅτι τακτικῶς διῆλθον ὅλην αὐτῶν τὴν σειράν, οὐδὲ μίαν Ἐφημερίδα ν' ἀναγνώσωσιν εἶναι ἱκανοί, οὐδὲ δύο λέξεις νὰ συνθέσωσιν εἰς τὴν γλῶσσάν των, καὶ ἄλλο ἀπὸ τὴν σπουδήν των δὲν ἐκέρδισαν, εἰμὴ ὅτι οἰήσεως πληρωθέντες, κατέστησαν ἀξιολύπητοι, ὡς μάτην καταδαπανήσαντες τὸν πολυτιμότερον τῆς ζωῆς των χρόνον.

— Ἕτερον δ' ἐπακόλουθον τῆς ἀμεθοδίας, καὶ ἐπίσης οὐ μικρὸν πρόσκομμα εἰς τὴν πρόοδον τῶν παίδων εἶναι ἡ κακίστη συνήθεια τοῦ νὰ ἐνασχολῶνται ἀπερισκέπτως (καὶ εἰς τὰ ἀλληλοδιδακτικὰ ἀκόμη σχολεῖα!!!) εἰς παραδόσεις Ἰσοκρατικῶν καὶ Δημοσθενικῶν λόγων, εἰς παῖδας μηδὲ τὸ ἀναγινώσκειν ἐλευθέρως εἰδότας, καὶ νὰ παραβλέπωσιν ὡς ἀχρήστους σχεδὸν τὰς ἰδιαιτέρας παραδόσεις τῆς Ἱστορίας, τῆς Μυθολογίας, τῆς Φυσικῆς καὶ Πολιτικῆς Γεωγραφίας, ὡς νὰ ἦτο δυνατὸν χωρὶς αὐτῶν νὰ γίνῃ κάμμία πρόοδος καὶ εἰς ἐκεῖνα.— Ἐπιπόλαια ἐν γένει καὶ κατ' ἐπιφάνειαν πράγματα, τὰ ὄμματα τῶν ἁπλουστέρων ἐκθαμβοῦντα, εἶναι μᾶλλον ὁ σκοπὸς καὶ τὸ τέλος τῶν πλειοτέρων, ἡ δὲ βαθυτέρα καὶ φιλοσοφικωτέρα τῶν Συγγραφέων ἀνάπτυξις παραμελεῖται ὁλικῶς, καὶ ἐνῷ, οἱ παῖδες γυμναζόμενοι εἰς τὴν σπουδὴν τῆς γλώσσης, ὤφειλον νὰ ἐξαρτῶνται ταὐτοχρόνως καὶ τοὺς ἀνεκτιμήτους ἐκείνους θησαυρούς, τοὺς διεσπαρμένους εἰς τὰ συγγράμματα τῶν ἀθανάτων προγόνων μας, οὐδὲ εἷς περὶ τούτου γίγνεται λόγος. Μ' ὅλον ὅτι τίς δύναται ν' ἀρνηθῇ πλέον ὅτι ἓν καὶ τὸ κυριώτερον τῶν σκοπουμένων τοῦ ἔθνους μας μένει τὴν σήμερον ἡ Ἠθικὴ αὐτοῦ ἀγωγή, διὰ τῆς ὁποίας, παρεκτὸς τοῦ νὰ δυνηθῶμεν νὰ ὀνομασθῶμεν Σοφὸν ἔθνος, νὰ λάβωμεν καὶ τὴν ὁποίαν οἱ πρόγονοί μας ἔχαιρον καὶ χαίρουσιν ἀκόμη ὑπόληψιν; Τὸν διὰ τὴν πρόοδον τῆς σοφίας μας σκοπὸν ἐκτυπήσαμεν ἐν μέρει, λείπεται ἤδη ὁ ἀναγκαιότερος, ἤτοι ὁ διὰ τὴν ἠθικήν μας πρόοδον. Καὶ τούτου ἕνεκα πρὸ πάντων συνιστᾶται, καὶ εἶναι ἀπαραιτήτως ἀναγκαία ἡ κατὰ βάθος σπουδὴ καὶ ἀνάπτυξις τῶν ἀξιοθαυμάστων συγγραμμάτων τῶν προγόνων μας, διότι ἡ Ἠθι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

κὴ τοσοῦτον βαθέως εἶναι ἐῤῥιζωμένη εἰς μέγα μέρος αὐτῶν (*), ὥστε τοῦτο καὶ μόνον ἤρκει νὰ βιάσῃ οὐ μόνον ἡμᾶς, (οἵτινες σπουδάζοντες τὴν γλῶσσαν αὐτῶν ἀπολαμβάνομεν ὅ, τι μᾶς εἶναι πάτριον) ἀλλὰ καὶ ὅλα τὰ ἔθνη ἅτινα θέλουσι νὰ φαίνωνται σ ο φ ὰ, εἰς τὸ νὰ μάθωμεν τὴν γλῶσσαν ἐκείνων, εἰς τὰ συγγράμματα τῶν ὁποίων θέλομεν εὑρεῖν τὸν τρόπον τοῦ νὰ κατασταθῶμεν ἄξιοι νὰ ὀνομασθῶμεν ἀληθῶς τοιοῦτοι. " Ἀνατρεφομένη ἡ Νεολαία τῶν Ἑλλήνων, λέγει εἷς τῶν Νεωτέρων σοφῶν, διὰ τῆς σοφίας καὶ τῆς δόξης τῶν προγόνων των, δὲν θέλει ἀργήσει νὰ αἰσθανθῇ μέγαν διὰ τὴν ἀλήθειαν καὶ τὸ ἀγαθὸν ἐνθουσιασμὸν, καὶ ἡ ἀρετὴ θέλει καθέξει τὴν καρδίαν τῆς ἐπερχομένης γενεᾶς. (**)"

Ἡ ἀνάγκη τῆς πνευματικῆς ἀγωγῆς μας ἔγινεν ἐπαισθητοτάτη εἰς ὅλους μας, καὶ τὸ χρέος τῶν γονέων τοῦ νὰ ἐκπαιδεύωσι τὰ τέκνα των ἐγνώσθη σχεδὸν παρὰ πάντων. καὶ μόνον ἠλίθιοι καὶ βάναυσοι ἄνδρες καταφρονοῦσι τὴν ἀληθῆ παιδείαν τὴν σήμερον, καθὼς καὶ τὰ ἄλογα ζῶα τὴν

---

[*] Δὲν εἶναι χρεία ν' ἀναφέρῃ τις, διότι καὶ τοῖς τυφλοῖς δῆλον, πόσον μεγίστης προσοχῆς ἀνάγκη εἶναι ὥστε τὰ εἰς τὰς ἁπαλὰς χεῖρας τῶν τρυφερῶν παίδων παραδιδόμενα βιβλία νὰ ἦναι ἠθικώτατα, καὶ ἂν ποτε ἐγχειρίζωμεν εἰς αὐτοὺς καὶ βιβλία πρὸς τέρψιν τινὰ, νὰ προσπαθῶμεν πρὸ πάντων ὥστε τὸ χρήσιμον καὶ σωτηριῶδες ἐξ αὐτῶν νὰ ἀρύωνται. Κατὰ δυστυχίαν ὅμως ποῖα ἄλλα βιβλία τυπόνονται καὶ ἀνατυπόνονται συχνότερον, λαμβάνουσι πλειοτέραν ὑποδοχὴν, καὶ ἀναγιγνώσκονται τοσοῦτον παρὰ τῶν νέων, παρὰ τὰ μᾶλλον τείνοντα εἰς τὴν διαφθορὰν των βιβλιάρια, ἐξ ὧν τινὲς δὲν ὤκνησαν νὰ εἰσάξωσι τινὰ καὶ εἰς τὰ σχολεῖά των; Ἴσως ἤθελε φανῆν αὐστηρός τις ἐμποδίζων ταῦτα ὅλως διόλου, ἀλλ' ἐρωτῶμεν ὅτι εἰς τῶν τρυφερῶν παίδων τὰς χεῖρας διδόμενα πρὸς ἀνάγνωσιν, βιβλία, ἐμπεριέχοντα ἐρωτικὰ ποιημάτια ἢ τραγῴδια, καὶ τὰ τοιαῦτα, ποῖα ἀποτελέσματα θέλουσιν ἔχει; "Μουσικὴ φαύλη, λέγει ὁ θεῖος Πλούταρχος. καὶ ᾄσματα πονηρὰ, καὶ λόγοι μοχθηρὰς ὑποθέσεις λαμβάνοντες, ἀκόλαστα ποιοῦσιν ἤθη, καὶ βίους ἀνάνδρους, καὶ ἀνθρώπους τρυφὴν καὶ μαλακίαν καὶ γυναικοκρασίαν ἀγαπῶντας,, (Περὶ τοῦ πῶς δεῖ τὸν νέον ἀκούειν ποιημάτ )

---

(**) Nourrie la jeunesse[ grecque]de la sagesse et de la gloire de ses ancêtres, se sentira par la suite, remplie d'enthousiasme pour la vérité et le bien, et (que) la vertu fixera son empire dans le coeur de la génération qui s' élève. F. THIERSCH.

Παπαχαραλάμπειος Δημόσια Κεντρική
Βιβλιοθήκη Ναυπάκτου

ἀνθρωπίνην καταφρονοῦσι τροφήν. Παραδοξότατον ὅμως εἶναι ὅτε ἐνῷ ὅλοι μας ἐν γένει ἐπείσθημεν ὅτι τὸ κυριώτερόν μας συστατικὸν εἶναι ἡ Παιδεία, καὶ ὅτι ἡ ἔλλειψις αὐτῆς συνεπιφέρει ὁποιανδήποτε δυστυχίαν μας, ἀδιαφοροῦμεν οὐκ ὀλίγον εἰς τοῦτο, ἀποβλέποντες μᾶλλον εἰς τὴν θησαύρισιν τῶν κοσμικῶν ἀγαθῶν διὰ τοὺς παῖδάς μας, ἐνῷ καὶ ὀφθαλμοφανῶς βλέπομεν τὴν ἀπώλειαν τῶν οἴκων, εἰς τοὺς ὁποίους μικρὸς ἢ οὐδεὶς λόγος ἔγινε περὶ τῆς ἐκπαιδεύσεως τῶν τέκνων των. —Ἡ πλουσία καὶ μεγαλόπολις Σμύρνη, ἡ Εὐρωπαϊκῆς χώρας ἐπέχουσα θέσιν ὡς πρὸς τὸν πολιτισμόν, στερουμένη καὶ ἁπλοῦ Γυμνασίου περὶ τὰ μέσα τοῦ πεφωτισμένου δεκάτου ἐννάτου αἰῶνος, εἶναι τρανὸν καὶ ἐναργὲς δεῖγμα τοῦ εἰς ποίαν κατάστασιν ἐν γένει εὑρίσκεται ἡ παιδείαμας. Δὲν δυνάμεθα βέβαια νὰ εἴπωμεν ὅτι οἱ καυχώμενοι ποτὲ ἐπὶ φιλομαθείᾳ καὶ ζήλῳ συμπολῖταί μας ἔχασαν τώρα τὴν ἀρχαίαν αὐτῶν συμπάθειαν, στεροῦντες τὰ τέκνα των ὅ,τι πάλαι ποτε ἀφθόνως παρεῖχον εἰς αὐτά, οὐδ' ὅτι ὑπάρχει πλέον εἰς οὐδενὸς κεφαλὴν ἡ ὑπὸ τῆς ἀμαθείας ἐγχαραχθεῖσα ἐσφαλμένη ἰδέα, ὅτι ἡ παιδεία σμικρύνει τὸ εἰς τὰς ὑψηλοτέρας κλάσεις τῆς κοινωνίας ὀφειλόμενον σέβας, καὶ μ' ὅλον τοῦτο ἀγνοοῦμεν πῶς μικρὰ καὶ ἀσήμαντος ὡς πρὸς καθένα δαπάνη μας ἐμποδίζει νὰ ἐκπληρώσωμεν μέρος τοῦ οὐσιωδεστάτου χρέους μας εἰς τὴν πατρίδα, εἰς τὴν ὁποίαν ἐκερδίσαμεν τὸν μικρὸν ἢ μέγαν πλοῦτόν μας. Τὸ ἐπιπολάσαν προφασιολόγημα ὅτι χρείαν Γυμνασίου δὲν ἔχομεν εἰς τὴν Σμύρνην, καὶ ὅτι ἀρκεῖ μόνον μέρος τῶν Γραμματικῶν νὰ διδαχθῶσιν ἐνταῦθα, καὶ εἶτα, οἱ βουλόμενοι νὰ ἐπεκτείνωσι τὰς γνώσεις των, ἂς ἀπέρχωνται ἀλλαχόσε, ὅπου βρύουσι παντὸς εἴδους ἀγαθά, κατέστη ἀτοπώτερον τὴν σήμερον. Ὅτι αἱ ἐπιστημονικαὶ γνώσεις κατεστάθησαν ἀναγκαιόταται καὶ εἰς παντὸς βαθμοῦ ἄνδρας, εἶναι πασίγνωστον πλέον· ὅτι δὲ ἄπειροι δυσκολίαι ὑπάρχουσιν εἰς πολλούς, ἐνδεεῖς μάλιστα, ν' ἀπέρχωνται ἀλλαχόσε, οὐδένα λανθάνει. Καὶ τὸ τελευταῖον, ὁ λόγος οὗτος μόλις περὶ μικρᾶς πόλεως, ἀπάντων στερουμένης τῶν μέσων, ἤθελεν εἶσθαι ὑποφερτός, οὐχὶ ὅμως καὶ εἰς τὴν Σμύρνην, ἥτις ὤφειλε διὰ τὸ καλήτερον νὰ ἐναμβρύνηται Γυμνάσιον, καὶ ἀντὶ αὕτη νὰ πέμπῃ ἀλ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λαχόσε τὰ τέκνα της, ἐξ ἄλλων πόλεων νὰ ἔρχωνται εἰς αὐτήν. Μαρτυρεῖ μου τὸν λόγον ἡ τῶν συμπολιτῶν μας συναίσθησις περὶ τῆς μεγίστης ἀνάγκης τοιούτου Φιλολογικοῦ Γυμνασίου, ἐξ ἧς καὶ ὁποιοιδήποτε περὶ τούτου γιγνόμενοι λόγοι κατήντησαν περιττοὶ πλέον. Ἐπίσης ὅμως περιττὸν δὲν ἤθελεν εἶσθαι καὶ τὸ νὰ ἐκθέσω ἐν περιλήψει τὰ κυρίως ἐνασχολοῦντα τὸ πνεῦμα αὐτῶν ἤδη περὶ τῆς συστάσεως τοιούτου καταστήματος, καθόσον μάλιστα καὶ ὅλαι σχεδὸν αἱ ἄλλαι τῆς Ἀνατολῆς χῶραι αὐτὴν κατὰ πόδας ἀκολουθοῦσιν.

Ἡ σκέψις μονίμων καὶ σταθερῶν πόρων εἶναι τὸ κυριώτερον ἤδη ἀντικείμενον τῆς φιλοκάλου προσοχῆς των. — Οἱ σταθεροὶ πόροι δύνανται νὰ διατηρήσωσιν ἀνέπαφον ὁποιον δήποτε σύστημα, ἐκ τοῦ ἐναντίου ἡ ἔλλειψις αὐτῶν οὔτε διοργανισμὸν ἐντελῆ δύναται νὰ κρατήσῃ, καὶ ἐπιφέρει τὴν ἄμεσον καταστροφὴν εἰς ὁποιανδήποτε βελτίωσιν. Πῶς ἡ Εὐαγγελικὴ Σχολὴ ἐκυβερνήθη μέχρι τοῦδε ἄνευ τοιούτων πόρων εἶναι τῇ ἀληθείᾳ παράδοξον, καὶ ἀντὶ νὰ μεμφώμεθα ὅτι αἱ πρόοδοι αὐτῆς δὲν εἶναι τοσοῦτον σημαντικαί, ὀφείλομεν μᾶλλον καὶ νὰ εὐχαριστώμεθα καὶ εἰς τὰ ὀλίγα ταῦτα.—Οἱ πόροι δὲ οὗτοι δὲν εἶναι εὔκολον νὰ συναχθῶσι διὰ μιᾶς. Ἀφοῦ γείνῃ ἡ μελετωμένη συνεισφορὰ καὶ ἡ ἐκ τῶν πλουσιωτέρων ἐτησία καταβολὴ διὰ τὴν κατασκευὴν τοῦ Γυμνασίου, ἐκ τῶν περισσευθέντων χρημάτων χρεία ν' ἀγορασθῶσι κτήματα στερεά, τὸ εἰσόδημα τῶν ὁποίων μᾶλλον ἢ ἧττον νὰ ἐξοικονομῇ τὰς ἐλλείψεις αὐτοῦ. Οὐδ' ἤθελεν εἶσθαι ἄπρεπον νὰ ζητηθῶσι συνεισφοραὶ καὶ παρὰ τῶν ἐκτὸς τῆς Σμύρνης ὁμογενῶν μας. Ὅλοι εἴμεθα ἀδελφοὶ μιᾶς μητρός, καὶ οἱ φιλόκαλοι τῆς Ἀνατολῆς κάτοικοι πρὸ πάντων ἔχουσιν ἐπίσης τὸ αὐτὸ χρέος τοῦ νὰ συνεισφέρωσιν. Ἡ Σμύρνη συνιστῶσα σήμερον Γυμνάσιον, δὲν τὸ συνιστᾷ μόνον δι' ἑαυτήν, ἀλλὰ καὶ δι' ὅλας σχεδὸν τῆς Τουρκίας τὰς πόλεις, ὡς ἡ πεῖρα τρανώτατα τὸ ἀπέδειξε· καὶ ἑπομένως καὶ ἡ παρὰ τῶν ἐντὸς καὶ ἡ παρὰ τῶν ἐκτὸς τῆς πόλεώς μας συνεισφορὰ γίγνεται διὰ τὸ εἰς ὅλους κοινὸν κατάστημα. Διὰ νὰ γίνωσιν ὅμως οἱ πόροι τοῦ Γυμνασίου ἀρκετὰ μεγάλοι, χρεία νὰ εἰσαχθῇ καὶ εἰς τὴν Σμύρνην τὸ σύστημα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπακαρανταμπάρειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τοῦ νὰ ἀφίνῃ ἕκαστος εἰς τὴν διαθήκην του μικρόν τι μέρος τῆς μικρᾶς ἢ μεγάλης περιουσίας του, πειθόμενος ὅτι οὐδὲν ἕτερον δύναται νὰ ἦναι τοσοῦτον ψυχοσωτήριον, ὅσον τὸ νὰ συνεισφέρῃ εἰς τὴν φωτισμὸν τῶν συμπολιτῶν του. Διὰ δὲ τοῦ ἁπλουστάτου τούτου μέσου, ἡ Σμύρνη δύναται νὰ συστήσῃ, ἐντὸς ὀλίγου, Γυμνάσιον ν' ἁμιλλᾶται καὶ μ' αὐτὰ τῆς σοφῆς Εὐρώπης.—Μετὰ τὴν ἐξοικονόμησιν τῶν πόρων, ἄμεσον καὶ ἐπίσης οὐσιῶδες ἀντικείμενον εἶναι ὁ διοργανισμὸς τοῦ Γυμνασίου, καθ' ὅσον πρὸ πάντων ἀποβλέπει τὴν διαμοίρασιν τῶν Μαθημάτων εἰς πολλοὺς Καθηγητάς. Καθὼς βλέπομεν ὅτι ἀδύνατον εἶναι εἷς μόνος καὶ ὁ αὐτὸς ἀνὴρ νὰ μετέλθῃ πολλὰ ἐπαγγέλματα, τὸν ράπτην π. χ., τὸν ὑποδηματοποιὸν κτλ. ἂν καὶ εἰς ὅλα ταῦτα μεταχειρίζωνται σχεδὸν τὰ αὐτὰ ἐργαλεῖα, τὸ ἴδιον καὶ ἀκόμη πλειότερον, εἷς μόνον Καθηγητὴς, ἐπαγγελόμενος νὰ διδάξῃ πάντα, εἶναι τῶν ἀδυνάτων νὰ ἐπιφέρῃ οὐδεμίαν τελειότητα καὶ πρόοδον. Καὶ ἂν εἰς τὰ κοινὰ τῶν ἀνθρώπων ἐπαγγέλματα κρίνεται τοσοῦτον ἀναγκαία ἡ διαμοίρασις τῶν ἔργων, πόσῳ μᾶλλον εἰς τὴν διάδοσιν τῶν γνώσεων, ὅπου ὁ διαδίδων αὐτὰς ὀφείλει νὰ προγυμνασθῇ ἱκανῶς αὐτὸς πρῶτον, καὶ νὰ ἔχῃ ἐλεύθερον τὸ στάδιόν του; Ἡ πεῖρα, ἡ ἀλάνθαστος διδάσκαλος, ἔδειξεν ὅτι δι' ἓν μόνον εἶδος τῶν γνώσεων, διὰ τὰς ἐπιστήμας π. χ. εἷς Καθηγητὴς εἶναι σχεδὸν τίποτε, καὶ διὰ πρόσχημα ἁπλῶς διορίζεται. Τὴν ἀνάγκην τοῦ πράγματος πόσον καλῶς ᾐσθάνθησαν εἰς τὰ πεφωτισμένα μέρη, καὶ πόσον ὀρθῶς τὸ ἐξοικονόμησαν, διορίζοντες ἰδιαίτερον διὰ πᾶσαν ἐπιστήμην Καθηγητήν! ἐνῷ ἐκ τοῦ ἐναντίου εἰς ἡμᾶς καταντᾷ καὶ ἀξιολύπητον ἀκόμη ὅτι βιάζομεν τρόπον τινὰ ἕνα μόνον ἄνδρα, μὲ κίνδυνον καὶ τῆς ὑγείας καὶ τῆς ὑπολήψεώς του, ν' ἀναλάβῃ βάρος, τοῦ ὁποίου μέρος ἄλλοι ἱκανώτεροι δὲν δύνανται νὰ βαστάσωσι.— Χρεία λοιπὸν νὰ εἰσαχθῶσιν εἰς τὸ Γυμνάσιον διάφοροι Καθηγηταὶ, οἵτινες θέλουσι διαμοιρασθῆν φρονίμως τὴν παράδοσιν τῶν μαθημάτων, ἢ κἂν, ἐπειδὴ αἱ περιστάσεις μας δὲν τὸ ἐπιτρέπουσιν, ἂς χωρισθῶσι πρὸς τὸ παρὸν τὰ Γραμματικὰ ἀπὸ τὰ Ἐπιστημονικὰ, καὶ ταῦτα, ἀπὸ τὴν Φιλοσοφίαν, καὶ ἂς μὴν ἐπιφορτίζωμεν πλέον εἰς ἕνα μόνον καὶ τὴν παράδοσιν τῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Γραμματικῶν, καὶ τὴν παράδοσιν τῆς Φιλοσοφίας, καὶ τὴν παράδοσιν τῶν Μαθηματικῶν, καὶ τὴν παράδοσιν τῶν Φυσικῶν Ἐπιστημῶν κτλ. κτλ. καὶ πρὸς τοῖς ἄλλοις, καὶ ὅλης τῆς Σχολῆς τὴν διεύθυνσιν, διότι καὶ τὴν συνείδησίν μας βλάπτομεν, καὶ πρὸς τοῖς ἄλλοις, καὶ εἰς τὰ τέκνα μας εἶναι ἀδύνατον νὰ εἴδωμεν τὴν ἀπαιτουμένην πρόοδον.

Ἔγραψα ἐν Σμύρνῃ, κατὰ μῆνα Αὔγουστον τοῦ 1842.

Ὁ Ἐκδότης.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

## ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

### ΤΟΥ Α'. ΤΟΜΟΥ·

Παραδείγματα τῶν Κλίσεων καὶ τῶν Ῥημάτων. . σελ. 1
Ἀνέκδοτα. . . . . . . . . . . . . . . 9
Αἰσώπου Μῦθοι· . . . . . . . . . . . 13
Ἱεροκλέους Ἀστεῖα. . . . . . . . . . . . 17
Ἐκ τῶν τοῦ Λαερτίου. . . . . . . . . . . . 19
Ἐκ των Ἀποφθεγμάτων τοῦ Πλουτάρχου. . . . . 25
Ἱστορίδια . . . . . . . . . . . . . . 31
Λουκιανοῦ Νεκρικοὶ Διάλογοι . . . . . . . . . 38
Ἰσοκράτους πρὸς Δημόνικον Παραίνεσις. . . . . 50
Ἐπικτήτου Ἐγχειρίδιον. . . . . . . . . . . 56
Στράβωνος Γεωγραφικῶν τὰ περὶ τῆς Ἰωνίας . . . 68
Ἰσοκράτους πρὸς Νικοκλέα. . . . . . . . . . 85
Πλουτάρχου Θεμιστοκλῆς · . . . . . . . . . 95
Ξενοφῶντος Κύρου Παιδείας . . . . . . . . . 123
Ξενοφῶντος Ἀπομνημονεύματα . . . . . . . . 159
Διοδώρου τοῦ Σικελιώτου. . . . . . . . . . 194

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

# ΕΛΛΗΝΙΚΑ

# ΜΑΘΗΜΑΤΑ

## ΠΑΡΑΔΕΙΓΜΑΤΑ ΤΩΝ ΚΛΙΣΕΩΝ.

### Ἰσοσύλλαβα.

(Εἰς α καὶ η θηλ. καὶ ας καὶ ης ἀρσ.)

Ἡ ἀπορία γεννᾷ εὐπορίαν.— Ἡ μέθη μικρὰ μανία ἐστίν. — Ἡ δόξα ἀσθενής ἐστιν ἄγκυρα.— Φύσεως ἀρετὴν διαφθείρει ῥᾳθυμία.— Τίμα τὴν ὑπάρχουσαν οὐσίαν. — Καλοκάγαθίαν ὅρκου πιστοτέραν ἔχε. — Συγγνώμη τιμωρίας ἀμείνων. — Πολλοῖς ἡ γλῶττα προτρέχει τῆς διανοίας.— Ἡ συντροφία ὥςπερ ἐπιτόνιόν ἐστι τῆς εὐνοίας.— Ἀνάγκη τῇ περιεργείᾳ τὴν κακολογίαν συνακολουθεῖν. — Πολλάκις βραχεῖα ἡδονὴ μακρὰν τίκτει λύπην.— Καλὸς παῤῥησίας θησαυρὸς εὐγένεια.— Φίλει τὴν παιδείαν, σωφροσύνην, φρόνησιν, ἀλήθειαν, οἰκονομίαν, τέχνην, εὐσέβειαν. —Οὐ πενία λύπην ἐργάζεται, ἀλλ' ἐπιθυμία.— Ταμεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.— Βραχεῖα τέρψις ἡδονῆς κακῆς. — Ῥώμη ψυχῆς σωφροσύνη ἐστι.— Χείλων ἐτελεύτησεν ὑπερβολῇ χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας. — Δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν τὴν φιλοσοφίαν.— Αἱ κτήσεις τῆς ἀρετῆς μόναι βέβαιαί εἰσιν.—Ἡ παιδεία ἐν μὲν ταῖς εὐτυχίαις κόσμος ἐστιν, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγή. — Πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια.— Αἱ ἡδοναὶ φθαρταί εἰσιν.— Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου ταχέως.— Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν. — Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης.— Αἰνείας Ἀγχίσου καὶ Ἀφροδίτης υἱός ἦν. — Ὁ Αἶνος παῖς ἦν Ἑρμοῦ καὶ Μούσης Οὐρανίας.—Προσήκει τοῖς ἀθληταῖς τὸ σῶμα ἀεὶ γυμνάζειν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

(Εἰς ος ἀρσ. καὶ θηλ. καὶ ον οὐδέτερ.)

Ἀξιέραστος ὁ ἀγαθός.— Ὁ θυμὸς ἀλόγιστος. —Ὁ πλοῦτος θνητὸς, ἡ δόξα ἀθάνατος.— Ὁ λόγος τῆς ψυχῆς εἴδωλόν ἐστι. — Δειλὸν ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.— Ἡ Αἴγυπτος δῶρόν ἐστι τοῦ Νείλου.— Ὅπλον μέγιστόν ἐστιν ἀρετὴ βροτοῖς. — Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.— Βίου δικαίου γίγνεται τέλος καλόν. Τρόπος δίκαιος κτῆμα τιμιώτατον. — Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν. — Ὁ Ἄρης μισεῖ τοὺς κακούς. — Κἂν τοῖς ἀγροίκοις ἐστι παιδείας λόγος. — Φασὶ κακίστους οἱ πονηροὶ τοὺς καλούς. Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.— Ὁ Κροκόδειλος ἐξ ἐλαχίστου γίγνεται μέγιστος.— Ὁ τῶν πλείστων βίος μελλισμῷ παραπόλλυται.— Ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις. — Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι. —Τρόπος ἐστι χρηστὸς ἀσφαλέστερος νόμου.— Βίου πονηροῦ θάνατος εὐκλεέστερος.—Οἱ ἄνθρωποι τὸ παλαιὸν ἐν ἄντροις ᾤκουν.— Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον.—Φθόνος ἐστι λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς.—Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.— Ἔοικεν ὁ τοῦ φιλαργύρου βίος νεκροῦ δείπνῳ.— Ἀναφαίρετον ὅπλον ἡ ἀρετή.—Ἐγγύτερον τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου.—Ἔοικεν ὁ βίος θεάτρῳ.— Βέβαιον οὐδέν ἐστιν ἐν θνητῶν βίῳ.— Οἱ νόμοι τοῖς ἀραχνίοις ὅμοιοί εἰσιν.

Περιττοσύλλαβα.

Ἡ τυραννὶς ἀδικίας μήτηρ ἔφυ. — Ὁ δειλὸς τῆς πατρίδος προδότης ἐστίν. —Ὁ ἐλέφας τὸν δράκοντα ὀῤῥωδεῖ. — Οἱ ἀγαθοὶ ἄνδρες θεῶν εἰκόνες εἰσί. — Τὴν Ἰταλίαν ᾤκησαν πρῶτοι Αὔσονες αὐτόχθονες. — Ἅπαντες οἱ λέοντες εἰσὶν ἄλκιμοι. — Ἡ παροιμία λέγει παλίμπαιδας τοὺς γέροντας γίγνεσθαι. — Σταγόνες ὕδατος πέτρας κοιλαίνουσιν.— Ὁ ὄρτυξ ἡδύφωνος καὶ μαχητικός. —Οἱ πέρδικες ἐν τῇ Ἀττικῇ εὔφωνοι, οἱ δὲ ἐν Βοιωτίᾳ ἰσχνόφωνοι ἦσαν. — Οἱ νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶν ἀριθμοῦσι. Γνώμη κρείσσων ἐστὶν, ἡ ῥώμη χερῶν. — Εὐωδία καὶ μῦρον γυψὶν αἰτία θανάτου. — Χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα οὐκ ἔχουσαν —Ἐλπὶς ἐγρηγορότος ἐνύπνιον.—Οἱ Φαί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παναχραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νικες τῷ Ἡρακλεῖ ὄρτυγας ἔθυον — Κοινὴν προσήκει πάντων μητέρα τὴν πατρίδα νομίζειν. — Κρεῖττον εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν.

Συνῃρημένα.

Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ. — Ἀνδρὸς οἶνος ἔδειξε νόον. — Ἡ φρόνησις μέγιστόν ἐστιν ἀγαθόν. — Ἡ φύσις ἄνευ μαθήσεως τυφλὸν, ἡ δὲ μάθησις ἄνευ φύσεως ἐλλιπές. — Πόλεως ψυχὴ οἱ νόμοι. — Ὁμονοούντων ἀδελφῶν συμβίωσις παντὸς τείχους ἰσχυροτέρα. — Ἤθους βάσανός ἐστιν ἀνθρώποις χρόνος. — Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως. — Ὡς ἡδὺ τὸ κάλλος ὅταν ἔχῃ νοῦν σώφρονα. — Ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν. — Ὡς οὐδὲν ἡ μάθησις ἂν μὴ νοῦς παρῇ. — Ἡ φρόνησις τεῖχος ἀσφαλέστατόν ἐστιν. — Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις. — Ὁ Παρνασσὸς μέγα καὶ σύσκιον ὄρος ἐστίν. — Οἱ ὄφεις τὸν ἰὸν ἐν τοῖς ὀδοῦσιν ἔχουσι. — Κέρδη πονηρὰ ζημίαν ἀεὶ φέρει. — Τίμα τοὺς γονεῖς. — Οἱ πολύποδες ἐλλοχῶσι τοὺς ἰχθῦς. — Ὁ Νεῖλος ἔχει παντοῖα γένη ἰχθύων. — Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ. — Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος. — Δεινόν ἐστι τοὺς χείρους τῶν βελτιόνων ἄρχειν. — Φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τρέφει.

Ὅλων τῶν Κλίσεων.

Πόνος εὐκλείας πατήρ. — Ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος. — Χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος. — Οἱ τέττιγες σιτοῦνται τῆς δρόσου. — Ἡ τῶν βροτῶν φύσις καὶ νόσων ἥττων καὶ γήρως, καὶ ἡ μοῖρα ἀπαραίτητος. — Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα. — Ἡ γλῶσσ' ἁμαρτάνουσα τ' ἀληθῆ λέγει. — Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε. — Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος. — Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα. — Σκεύη τὰ μὲν καινὰ κρείττονα, φιλία δὲ ἡ παλαιοτέρα. — Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ, καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ. — Φαύλου ἀνδρὸς, καθάπερ κυνὸς κακοῦ, μᾶλλον δεῖ τὴν σιγὴν ἢ τὴν φωνὴν εὐλαβεῖσθαι. — Φθείρουσιν ἤθη χρησθ' ὁμιλίαι κακαί. — Ὕπνος καὶ κόπος μαθήμασι πολέμια. — Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ. — Νόμιζε κοινὰ πάντα δυστυχήματα. — Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται. — Ὡς

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἡδὺ συνέσει χρηστότης κεκραμμένη. — Ἦπου κρεῖσσον τῆς εὐγενείας τὸ καλῶς πράττειν. — Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος. — Γλῶσσα δικαία τὸ κράτος ἔχει μέγα. — Γνῶμαι πλέον κρατοῦσιν, ἢ σθένος χερῶν. — Ὡς ἡδὺ τῷ φείσαντι πείθεσθαι τέκνα. — Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς. — Ἡ πενία πολλῶν ἐστιν ἐνδεής, ἡ δ' ἀπληστία πάντων. — Οὔτ' ὁ αὐστηρὸς οἶνος εἰς πόσιν εὔθετος, οὐδ' ὁ ἄγροικος τρόπος εἰς ὁμιλίαν. — Ὁ πλουσίῳ χορηγῶν, οὐδὲν διαφέρει τοῦ εἰς θάλασσαν ὕδωρ ἐκχέοντος. — Οὐδὲν τῆς εὐμορφίας ὄφελος, ὅταν τις μὴ φρένας ἔχῃ.

## ΠΑΡΑΔΕΙΓΜΑΤΑ ΤΩΝ ΡΗΜΑΤΩΝ.

### Βαρύτονα.

Κρίνειν δίκαιον μὴ τὸ συμφέρον θέλε. Ὃ μέλλεις πράττειν μὴ πρόλεγε. Θάπτουσιν οἱ Αἰγύπτιοι τοὺς νεκροὺς ταριχεύοντες, Ῥωμαῖοι δὲ καίοντες. Τὸ καλῶς ἀποθανεῖν ἴδιον τοῖς ἀγαθοῖς ἡ φύσις ἀπένειμε. Μηδενὶ συμφορὰν ὀνειδίσῃς. Ἄνθρωποι τὸν θάνατον φεύγοντες διώκουσιν. Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται. Ἐπὶ τῆς κολακείας, ὡς ἐπὶ μνήματος, αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται. Εὐριπίδης ἐν Μακεδονίᾳ τέθαπται. Οἱ εὐεργέται τῶν ἀνθρώπων ἀθανάτων τιμῶν ἠξιώθησαν. Αἱ τιθῆναι ἐμπτύουσι τοῖς παιδίοις, ὡς μὴ βασκανθῶσιν. Ὅστις μὴ κολάζει τὰ πάθη, αὐτὸς ὑπ' αὐτῶν κολάζεται. Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα. Αἰδοῦ σαυτὸν καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ. Οὐκ ἄμισθον τὸ εὖ ποιεῖν, κἂν μὴ παραχρῆμα τῆς εὐεργεσίας ἡ ἀντίδοσις φαίνηται. Οὐ τὸ πένεσθαι αἰσχρὸν, ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος. Τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν. Γεγόναμεν ἅπαξ· δὶς δὲ οὐκ ἔστι γενέσθαι. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας. Ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτε οὐ ζητούμενον. Ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται. Ἐὰν τὰ παρεληλυθότα μνημονεύῃς ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ. Πάντων μάλιστα σαυτὸν αἰσχύναιο.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Περισπώμενα.

Μηδενὶ φθόνει. Νόει καὶ τότε πράττε. Ἡ συνήθεια κόρον γεννᾷ. Ἀμελοῦντι τοῦ ζῆν οὐκ ἔνεστιν εὐσχημονεῖν. Ἱκανῶς βιώσεις γηροβοσκῶν τους γονεῖς. Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ. Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν. Ὅτ' εὐτυχεῖς μάλιστα μὴ μέγα φρόνει. Ζῆν αἰσχρὸν οἷς ζῆν ἐφθόνησεν ἡ τύχη. Θεὸς συνεργῶν, πάντα ποιεῖ ῥᾳδίως. Μισῶ πένητα πλουσίῳ δωρούμενον. Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν. Ἀνὴρ πονηρὸς δυστυχεῖ κἂν εὐτυχῇ. Κακῷ σὺν ἀνδρὶ μηδόλως ὁδοιπόρει. Κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει. Οὐ δεῖ σιωπᾶν, καὶ λαλεῖν ὅπου χρεών. Ὁ φθονέων ἑαυτὸν ὡς ἐχθρὸν λυπέει. Ἀγαθοῖσιν ὁμίλεε. Οἱ πλεονεκτοῦντες πολεμοῦσιν ἀεί, τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες. Οἱ ἄνθρωποι τὸ παλαιὸν ἐν ἄντροις ᾤκουν. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. Κυβερνήτου νοσοῦντος ὅλον συμπάσχει τὸ σκάφος. Μηδέποτε φρονήσῃς ἐπὶ σεαυτῷ μέγα, ἀλλὰ μηδὲ καταφρονήσῃς σεαυτοῦ. Ὦ παῖ σιώπα, πολλ' ἔχει σιγὴ καλά. Καλὸν τὸ γηρᾶν, καὶ τὸ μὴ γηρᾶν καλόν. Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα. Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ, καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ. Τοῖς μὲν νοσοῦσιν ἰατρούς, τοῖς δ' ἀτυχοῦσι φίλους δεῖ παρεῖναι. Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ. Οἱ μὴ κολάζοντες τοὺς κακοὺς βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς. Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ. Οὕτοι λείψανα τῶν ἀγαθῶν ἀφαιρεῖται χρόνος. Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαῤῥεῖν, ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην. Οὕτω πειρῶ ζῆν, ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσόμενος. Μᾶλλον εὐλαβοῦ ψόγον ἢ κίνδυνον. Φίλους μὴ ταχὺ κτῶ. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις.

Εἰς μι.

Ζεὺς πάντα τίθησιν ὅπῃ θέλει. Τί τὸν νεκρὸν ὁ κωκυτὸς ὀνίνησι. Τοῦτον τὸν νόμον ὁ Θεὸς τέθεικεν, εἴ τι ἀγαθὸν θέλεις, παρὰ σεαυτοῦ λάβε. Οἱ παλαιοὶ τοῖς ἀποθανοῦσιν ὀβολὸν εἰς τὸ στόμα κατέθηκαν. Ῥᾴδιον ἐξ ἀγαθοῦ θεῖναι κακόν, ἢ ἐκ κακοῦ ἐσθλόν. Ἐὰν ᾖς φιλομαθής, ἔσῃ καὶ πο-

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

λυμαθής. Οὐδὲ τὸν ἀέρα οἱ ἄνθρωποι τοῖς ὄρνεσιν εἴων ἐλεύθερον, παγίδας καὶ νεφέλας ἱστάντες. Οὐδὲν τῶν μὴ καλῶν δίδωσι Θεός, ἀλλ' ἔστι ταῦτα δωρεὰ τύχης ἀλόγου. Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν. Ἡ φύσις τὰ δάκρυα ἔδωκεν ἡμῖν παραμυθίαν ἐν ταῖς τύχαις. Ὁ οἶνος μέτριος μὲν ληφθεὶς ῥώννυσι, πλείων δὲ παρίησιν. Ἡ πλαστικὴ δείκνυσι τὰ εἴδη τῶν θεῶν, τῶν ἀνθρώπων, καὶ ἐνίοτε καὶ τῶν θηρίων. Ἡ Σαλαμάνδρα, ὥς φασι, διὰ τοῦ πυρὸς βαδίζουσα κατασβέννυσι τὸ πῦρ. Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι, τοὺς δ' ἀνοήτους ἀνθρώπους τὸ οἴημα. Ἔνιοι καὶ κυνῶν θανάτῳ καὶ ἵππων αἰσχρῶς ὑπὸ λύπης διετέθησαν. Ὁ νόμος λέγει ὃ μὴ κατέθου, μὴ λάμβανε. Ἀρετή, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται.

Ἀ ν ώ μ α λ α.

Δὶς ἐξαμαρτεῖν ταὐτὸν, οὐκ ἀνδρὸς σοφοῦ. Ὁ μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει. Ἀρχῆς τετευχώς, ἴσθι ταύτης ἄξιος. Κρεῖττον εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν. Μακαριώτατον ἐν ἀνθρώποις εὐτυχοῦντα ἀποθανεῖν. Τεθνάναι πολὺ κρεῖττον ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι. Δίκαια δράσας συμμάχου τεύξῃ θεοῦ. Πολλὰ λυπηρὰ ὁ βίος ἐν ἑαυτῷ φέρει. Ἀνὴρ σοφὸς τὰς ἐν βίῳ συμφορὰς ῥᾷον οἴσει τῶν ἄλλων. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. Οὐδὲν τῆς εὐμορφίας ὄφελος, ὅταν τις μὴ φρένας ἔχῃ. Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν. Ἄνδρας τὸ κέρδος πολλάκις ἐξώλεσε. Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι. Εὖ θνήσκεις ὅταν σοὶ τὸ χρεὼν ἔλθῃ. Δεδοίκασιν αἱ μέλισσαι οὐ τοσοῦτον τὸ κρύος, ὅσον τὸν ὄμβρον. Οἱ πονηροὶ εἰς τὸ κέρδος μόνον ἀποβλέπουσιν.

## ΔΙΑΦΟΡΩΝ ΤΥΠΩΝ.

Ἄργος ὁ πανόπτης ὀφθαλμοὺς εἶχεν ἐν παντὶ τῷ σώματι.

Ὁ Ἑλλήσποντος ἐκλήθη ἀπὸ τῆς ἐν αὐτῷ θανούσης Ἕλλης.

Βίων ἔλεγε τὴν φιλαργυρίαν εἶναι μητρόπολιν πάσης κακίας.

Ἡρόδοτος λέγει ἐπὶ Ἄτυος διὰ λιμὸν εὑρεθῆναι τὰς παιδιάς.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Οἱ Αἰγύπτιοι τὸν ἥλιον καὶ τὴν σελήνην θεοὺς εἶναι λέγουσιν.

Οἱ τὰ ἄκρα τοῦ Ἄθω ἐνοικοῦντες μακροβιώτατοι εἶναι λέγονται.

Τὰ χρήματα τοῖς πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικε.

Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἔξεστι.

Κλεάνθης ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

Εὔκολον ἔφασκεν ὁ Βίων τὴν εἰς ᾅδου ὁδὸν, καταμύοντας γοῦν ἀπιέναι.

Ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις, οὕτως οὐδὲ διάνοια τῶν ἀνθρώπων.

Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει.

Στίλπων ἐρωτηθεὶς τί ἰσχυρότερον ἀνδριάντος; Ἄνθρωπος, εἶπεν, ἀναίσθητος.

Μίλων, ὁ ἐκ Κρότωνος ἀθλητὴς, ταῦρον ἀράμενος ἔφερε διὰ τοῦ σταδίου μέσου.

Ἀναξαγόραν τὸν Κλαζομένιόν φασι μήτε γελῶντά ποτε ὀφθῆναι, μήτε μειδιῶντα.

Ἀλέξανδρος, ὅτε ἐνίκησε Δαρεῖον, ἀπέστειλε τοῖς Ἕλλησι θεὸν αὐτὸν ψηφίσασθαι.

Ἐν Βοιωτίᾳ δύω εἰσὶν ἐπίσημα ὄρη, τὸ μὲν Ἑλικὼν καλούμενον, ἕτερον δὲ Κιθαιρών.

Πυθαγόρας πρῶτος ἑαυτὸν φιλόσοφον ὠνόμασεν, οἱ δὲ παλαιότεροι σοφοὶ ὠνομάσθησαν.

Βασκάνου τινὸς ἐσκυθρωπακότος, ὁ Βίων, ἢ τούτῳ, ἔφη, κακὸν γέγονεν, ἢ ἄλλῳ ἀγαθόν.

Ἡ νέα Καρχηδὼν κτίσμα ἐστὶν Ἀσδρούβα, τοῦ δεξαμένου Βάρκαν τὸν Ἀννίβα πατέρα.

Πυθαγόρας ἐρωτηθεὶς, πῶς δεῖ ἀγνωμονούσῃ πατρίδι προσφέρεσθαι; εἶπεν, Ὡς μητρί.

Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

Βίων ἔφη δεῖν τὸν ἀγαθὸν ἄρχοντα παυόμενον μὴ πλου-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

σιώτερον, ἀλλ' ἐνδοξότερον γεγονέναι.

Ὁ Πιττακὸς τῷ μεθύοντι ἐὰν ἁμάρτῃ, διπλῆν ζημίαν ἔθηκεν, ἵνα μὴ μεθύωσιν οἱ πολῖται.

Ἀριστοτέλης εἶπεν, ἐπειδὴ μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεθα, δεῖ βούλεσθαι ὡς γίνεται.

Οἱ Πέρσαι θύουσι πυρὶ, καὶ ἐπιφοροῦντες αὐτῷ τὴν πυρὸς τροφὴν, λέγουσι, Πῦρ Δέσποτα ἔσθιε.

Οἱ δραπέται κἂν μὴ διώκωνται, φοβοῦνται, οἱ δὲ ἄφρονες κἂν μὴ κακῶς πράττωσι, ταράττονται.

Κράτης πρὸς νέον πλούσιον πολλοὺς κόλακας ἐπισυρόμενον, Νεανίσκε, εἶπεν, ἐλεῶ σου τὴν ἐρημίαν.

Εἰς μὲν τὸ εὐπλοῆσαι κυβερνήτου καὶ πνεύματος χρεία, εἰς δὲ τὸ εὐδαιμονῆσαι λογισμοῦ καὶ τύχης.

Θεώρει ὥσπερ ἐν κατόπτρῳ τὰς σαυτοῦ πράξεις, ἵνα τὰς μὲν καλὰς ἐπικοσμῇς, τὰς δ' αἰσχρὰς καλύπτῃς.

Οἱ ποιηταὶ τοιούτους λόγους περὶ τῶν θεῶν εἰρήκασιν, οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν τολμήσειε λέγειν.

Ἐμπεδοκλῆς τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο, τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας.

Οἱ Αἰγύπτιοι θηρία τιμῶσι, καὶ οἱ αὐτῶν θεοὶ ἀποθνήσκουσι καὶ πενθοῦνται, καὶ δείκνυνται τάφοι θεῶν.

Τὰ παιδία, ἄχρι γένηται τεσσαράκοντα ἡμερῶν, ἐγρηγορότα μὲν οὐ γελᾷ οὐδὲ δακρύει, ὑπνοῦντα δὲ, ἀμφότερα.

Πάντων ἐστὶν ἥδιστον καὶ λυσιτελέστατον, πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς εὐεργεσίαις.

Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατ' ἀνάγκην σκιὰ, τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

Ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις· οὔτε τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει.

Τὸ ἐσθίειν πολλὰ τοὺς μὲν λογισμοὺς ἐξαιρεῖ, καὶ τὰς ψυχὰς ποιεῖται βραδυτέρας, ὀργῆς δὲ καὶ σκληρότητος ἐμπίπλησι.

Πολλὰ ἦσαν ἐν τοῖς παλαιοῖς χρόνοις θεῶν ἀγάλματα, ὧν τὰ μὲν δι' ἔκπληξιν ἐσεβάσθη, τὰ δὲ διὰ τὸ κάλλος ἐπῃνέθη.

Τὸν Μίνω βεβασιλευκότα νομιμώτατα, καὶ μάλιστα δικαιοσύνης πεφροντικότα, δικαστὴν καθ' ᾅδου ἀποδεδεῖχθαι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν, μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς ποιεῖν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν.

Ὁ καλὸς καὶ ἀγαθὸς ἀνὴρ τὴν ἑαυτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι τὰ ὅλα, καθάπερ οἱ ἀγαθοὶ πολῖται τῷ νόμῳ τῆς πόλεως.

Τὸ μὲν ἐγκαλέσαι καὶ ἐπιτιμῆσαι ῥᾴδιον, τὸ δὲ, ὅπως τὰ παρόντα βελτίω γένηται, συμβουλεῦσαι, τοῦτ' ἔμφρονος συμβούλου ἔργον.

Τίς λιμὸς ἢ σεισμὸς τοσαύτας πόλεις ἐκένωσεν ἢ τοσαῦτα γένη ἀνθρώπων ἠφάνισεν ἢ κατέδυσεν, ὅσα ἡ τῶν βασιλέων φιλοτιμία;

Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ ὄντες καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἑτοιμάζουσι βοηθήματα.

---

# ΑΝΕΚΔΟΤΑ.

### Θεανώ.

Θεανώ, ἡ Πυθαγορικὴ φιλόσοφος, ἐρωτηθεῖσα, τί πρέπον εἴη γυναικί; Τὸ τῷ ἰδίῳ, ἔφη, ἀρέσκειν ἀνδρί.

### Θεόκριτος.

Θεόκριτος ἐρωτηθεὶς, διατί οὐ συγγράφει; Ὅτι, εἶπεν, ὡς μὲν βούλομαι, οὐ δύναμαι, ὡς δὲ δύναμαι, οὐ βούλομαι.

### Ἀγησίλαος.

Ἀγησίλαος ἐρωτηθεὶς, πῶς ἄν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη; Εἰ λέγει, εἶπε, τὰ ἄριστα, πράττοι δὲ τὰ κάλλιστα.

### Ζεῦξις.

Ὁ Ζεῦξις, αἰτιωμένων αὐτὸν τινῶν ὅτι ζωγραφεῖ βραδέως, Ὁμολογῶ, εἶπεν, ἐν πολλῷ χρόνῳ γράφειν, καὶ γὰρ εἰς πολύν.

### Δημοσθένης.

Δημοσθένης, λοιδορουμένου τινὸς αὐτῷ, Οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Σόλων.

Σόλων ἀποβαλὼν υἱὸν ἔκλαυσεν. Εἰπόντος δέ τινος πρὸς αὐτὸν, ὡς οὐδὲν προὔργου ποιεῖ κλαίων, Δι' αὐτὸ γάρ τοι τοῦτο, ἔφη, κλαίω.

Εὐκλείδης.

Εὐκλείδης ὁ Σωκρατικὸς, ἀκούσας τοῦ ἀδελφοῦ λέγοντος, ἀπολοίμην, εἰμή σε τιμωρησαίμην, Ἐγὼ δὲ, εἶπεν, εἰμή σε φιλεῖν ἡμᾶς πείσαιμι.

Λάμαχος.

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι. Τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν, Οὐκ ἔστιν, εἶπεν, ἐν πολέμῳ δὶς ἁμαρτεῖν.

Χαρίλαος.

Χαρίλαος ἐρωτηθεὶς, διατί τοὺς νόμους ὁ Λυκοῦργος οὕτως ὀλίγους ἔθηκεν; Ὅτι, ἔφη, τοῖς ὀλίγα λέγουσιν, ὀλίγων καὶ νόμων ἐστὶ χρεία.

Μενέδημος.

Μενέδημος, νεανίσκου τινὸς εἰπόντος, μέγα ἐστὶ τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ, εἶπε, Πολλῷ μεῖζόν ἐστι, τὸ μηδὲ ἐπιθυμεῖν ὧν μὴ δεῖ.

Αἰσχίνης.

Αἰσχίνης ὁ Σωκρατικὸς ἐπιπληχθεὶς, ὅτι Σωκράτει ἐσχολακὼς σιωπᾷ, Οὐ γαρ μόνον, εἶπε, λέγειν ἔμαθον παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾷν.

Ἡ Γυνὴ τοῦ Φωκίωνος.

Ἡ Φωκίωνος γυνὴ ἐρωτηθεῖσα, διατί μόνη τῶν ἄλλων ἐν συνόδῳ οὐ φορεῖ χρυσοῦν κόσμον; ἔφη· Ὅτι αὐτάρκης κόσμος μοί ἐστιν ἡ τοῦ ἀνδρὸς ἀρετή.

Θεόδωρος.

Θεόδωρος ὁ Κυρηναϊκὸς, Λυσιμάχου τοῦ βασιλέως ἀπειλήσαντος αὐτὸν ἀναιρήσειν, Ἐλελήθεις με, εἶπεν, οὐ βασιλέως, ἀλλὰ κωνείου δύναμιν ἔχων

Γοργώ.

Γοργὼ, βασιλέως Κλεομένους θυγάτηρ, τὸν Ἀρισταγόραν ὑπό τινος τῶν οἰκετῶν ὑποδούμενον θεασαμένη, Πάτερ, ἔφη, ὁ ξένος χεῖρας οὐκ ἔχει.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Θεόκριτος.

Θεόκριτος ἐρωτηθεὶς, ποῖα τῶν θηρίων ἐστὶ χαλεπώτατα; εἶπεν, Ἐν μὲν τοῖς ὄρεσιν, ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται.

Πελοπίδας.

Πελοπίδας, ἀνδρείου στρατιώτου διαβληθέντος αὐτῷ ὡς βλασφημήσαντος αὐτόν, Ἐγὼ τὰ μὲν ἔργα, ἔφη, αὐτοῦ βλέπω, τῶν δὲ λόγων οὐκ ἤκουσα.

Δημάρατος.

Δημάρατος, ἀνθρώπου τινὸς πονηροῦ κόπτοντος αὐτὸν ἀκαίροις ἐρωτήμασι, καὶ δὴ τοῦτο πολλάκις ἐρωτῶντος, τίς ἄριστος Σπαρτιατῶν; Ὁ σοὶ ἀνομοιότατος, ἔφη.

Πιττακός.

Πιττακὸς ἀδικηθεὶς ὑπό τινος, καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν, εἰπὼν, Συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους.

Λύσανδρος.

Λύσανδρος, Διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν, εἰπὼν δεδιέναι μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσι.

Φιλιππίδης.

Φιλιππίδης ὁ κωμῳδοποιὸς, φιλοφρονουμένου τοῦ βασιλέως αὐτὸν Λυσιμάχου, καὶ λέγοντος, Τίνος σοι μεταδῶ τῶν ἐμῶν; Οὗ βούλει, φησὶ, βασιλεῦ, πλὴν τῶν ἀπορρήτων.

Ἀρχίδαμος.

Ἀρχίδαμος, πρὸς τὸν ἐπαινοῦντα κιθαρῳδὸν καὶ θαυμάζοντα τὴν δύναμιν αὐτοῦ, Ὦ λῷστε, ἔφη, ποῖον γέρας παρὰ σοῦ τοῖς ἀγαθοῖς ἀνδράσιν ἔσται, ὅταν κιθαρῳδὸν οὕτως ἐπαινῇς;

Ἀπελλῆς.

Ζωγράφος, φασὶν, ἄθλιος, Ἀπελλῇ δείξας εἰκόνα, Ταύτην, ἔφη, νῦν γέγραφα. Ὁ δὲ, καὶ ἢν μὴ λέγῃς, εἶπεν, οἶδα ὅτι ταχὺ γέγραπται· θαυμάζω δὲ, πῶς οὐχὶ τοσαύτας πλείους γέγραφας.

Ἰσοκράτης.

Ἰσοκράτης ὁ ῥήτωρ, νεανίσκου τινὸς λάλου σχολάζειν αὐτῷ βουλομένου, διττοὺς ᾔτησε μισθούς. Τοῦ δὲ τὴν αἰτίαν πυνθανομένου, Ἕνα μὲν, ἔφη, ἵνα λαλεῖν μάθῃς, τὸν δὲ ἕτερον, ἵνα σιγᾷν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

### Παιδάρετος.

Παιδάρετος, οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐν τῇ πόλει (Λακεδαίμονι) πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπήει, χαίρειν λέγων, εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας ἑαυτοῦ βελτίονας.

### Στίλπων.

Στίλπων, ὅτε Δημήτριος ὁ πολιορκητὴς, ἐξανδραποδισάμενος τὰ Μέγαρα, εἰς ἔδαφος κατέβαλεν, ἤρετο τὸν Στίλπωνα, μή τι ἀπολωλεκὼς εἴη; Καὶ ὅς, Οὐ δῆτα, εἶπε, πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν.

### Κράτης.

Φασὶ Κράτητα, τραπεζίτῃ τινὶ παρακατατίθεσθαι τὸ ἀργύριον, συνθέμενον, εἰ μὲν οἱ παῖδες ἰδιῶται γενηθεῖεν, αὐτοῖς ἀποδοῦναι· εἰδὲ φιλόσοφοι, τῷ δήμῳ διανεῖμαι, μηδενὸς γὰρ ἐκείνους δεήσεσθαι φιλοσοφοῦντας.

### Μέμνων.

Μέμνων, ὁ Ἀλεξάνδρῳ πολεμῶν ὑπὲρ Δαρείου τοῦ βασιλέως, μισθοφόρον τινὰ πολλὰ βλάσφημα καὶ ἀσελγῆ περὶ Ἀλεξάνδρου λέγοντα, τῇ λόγχῃ πατάξας, Ἐγώ σε, εἶπε, τρέφω μαχούμενον, ἀλλ' οὐ λοιδορούμενον Ἀλεξάνδρῳ.

### Ἀπολλωνίς.

Ἀπολλωνίδα τὴν Κυζικηνὴν, Εὐμενοῦς δὲ τοῦ βασιλέως μητέρα, καὶ τριῶν ἄλλων, Ἀττάλου καὶ Φιλεταίρου καὶ Ἀθηναίου, λέγουσι μακαρίζειν ἑαυτὴν ἀεὶ, καὶ τοῖς θεοῖς χάριν ἔχειν, οὐ διὰ τὸν πλοῦτον, οὐδὲ διὰ τὴν ἡγεμονείαν, ἀλλ' ὅτι τοὺς τρεῖς υἱοὺς ἑώρα τὸν πρεσβύτατον δορυφοροῦντας, κἀκεῖνον ἐν μέσοις αὐτοῖς δόρατα καὶ ξίφη φοροῦσιν ἀδεῶς διαιτώμενον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

# ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ.

## Λέαινα καὶ Ἀλώπηξ.

Λέαινα ὀνειδιζομένη ὑπὸ Ἀλώπεκος ἐπὶ τὸ διὰ παντὸς ἕνα τίκτειν, Ἕνα, εἶπεν, ἀλλὰ Λέοντα.

## Λύκος καὶ Ποιμένες.

Λύκος, ἰδὼν ποιμένας, ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν, Ἡλίκος (ἔφη) ἂν ἦν ὑμῖν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν!

## Κοχλίαι.

Γεωργοῦ παῖς ὤπτα κοχλίας. Ἀκούσας δὲ αὐτῶν τρυζόντων, ἔφη, Ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε;

## Λαγωοὶ καὶ Ἀλώπεκες.

Λαγωοὶ, πολεμοῦντες ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δὲ, ἔφασαν, Ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ἤδειμεν τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

## Ἔριφος καὶ Λύκος.

Ἔριφος ἐπί τινος δώματος ἑστὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ λύκος, ἔφη· Ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος.

## Γεωργὸς καὶ Ὄφις.

Γεωργὸς, χειμῶνος ὥρᾳ, ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον λαβὼν ὑπὸ τοῦ κόλπου κατέθετο. Θερμανθεὶς δὲ ἐκεῖνος, καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν, ἔπληξε τὸν εὐεργέτην.

## Κώνωψ καὶ Βοῦς.

Κώνωψ ἐπὶ κέρατος βοὸς ἐκαθέσθη, καὶ ηὔλει. Εἶπε δὲ πρὸς τὸν βοῦν, εἰ βαρῶ σου τὸν τένοντα, ἀναχωρήσω. Ὁ δὲ ἔφη, Οὔτε ὅτε ἦλθες ἔγνων, οὔτε ἐὰν μένῃς μελήσει μοι.

## Ἔλαφος καὶ Λέων.

Ἔλαφος κυνηγοὺς φεύγουσα εἰς ἄντρον εἰσῆλθεν. Λέοντι δ' ἐκεῖ περιτυχοῦσα ὑπ' αὐτοῦ συνελήφθη. Θνήσκουσα δ' ἔλεγεν. Οἴμοι! ὅτι ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

## Λέων καὶ Βάτραχος.

Λέων, ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνὴν, οἰόμενος μέγα τι ζῶον εἶναι. Προσμείνας

Βιβλιοθήκη Ναυπάκτου

δὲ μικρὸν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ἀλώπηξ καὶ Βότρυες.

Βότρυας πεπείρους Ἀλώπηξ κρεμαμένους ἰδοῦσα, τούτους ἐπειρᾶτο καταφαγεῖν. Πολλὰ δὲ καμοῦσα, καὶ μὴ δυνηθεῖσα ψαῦσαι, τὴν λύπην παραμυθουμένη, ἔλεγεν, Ὄμφακες ἔτι εἰσί.

Παῖς λουόμενος.

Παῖς λουσάμενος ἐν ποταμῷ ἐκινδύνευε πνιγῆναι, καὶ ἰδὼν τινα παροδίτην ἐπεφώνει, βοήθησον! Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ τὴν τολμηρίαν. Τὸ δὲ παιδίον εἶπεν· Ἀλλὰ νῦν μοι βοήθησον, ὕστερον δὲ σωθέντα μέμφου.

Μυῖαι.

Ἔν τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον. Ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον, ἀποπνιγόμεναι δ' ἔλεγον. Ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα.

Ἀλώπηξ καὶ μορμολύκειον.

Ἀλώπηξ, εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη, Ὦ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει!

Κορυδαλός.

Κορυδαλὸς, εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν. Οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ! Οὐ χρυσὸν ἐνοσφισάμην τινὸς, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων, κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξένησεν.

Ὗς καὶ Κύων.

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. Ἔφη δ' ἡ κύων εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν ζώων. Καὶ ἡ ὗς, ὑποτυχοῦσα πρὸς ταῦτα, φησίν. Ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι, ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις.

Ὄνος καὶ λεοντῆ.

Ὄνος δορὰν Λέοντος ἐπενδυθεὶς, Λέων ἐνομίζετο πᾶσι, καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. Ὡς δὲ ἄνεμος βιαιότερον πνεύσας, ἐγύμνου αὐτὸν τοῦ περικαλύμματος, τότε πάντες ἐπιδραμόντες, ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Πολιτιστικός Σύλλογος ... Βιβλιοθήκη Ναυπάκτου

### Ἀλώπηξ καὶ Πάρδαλις.

Ἀλώπηξ καὶ Πάρδαλις περὶ κάλλους ἤριζον. Τῆς δὲ παρδάλεως παρ' ἕκαστα τὴν τοῦ σώματος ποικιλίαν προβαλλομένης, ἡ ἀλώπηξ ὑποτυχοῦσα εἶπε. Πόσον ἐγὼ καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψυχὴν πεποίκιλμαι.

### Γαλῆ.

Γαλῆ, εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως, τὴν ἐκεῖσε κειμένην περιέλειχε ῥίνην. Ξυομένης δὲ τῆς γλώττης, αἷμα πολὺ ἐφέρετο. Ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶσσαν ἀνήλωσε.

### Ταὼς καὶ Κολοιός.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος, χειροτονεῖν. Αἱρουμένων δὲ τοῦτον τῶν ἄλλων, ὁ κολοιὸς ὑπολαβὼν, ἔφη. Ἀλλ' εἰ, σοῦ βασιλεύοντος, ὁ ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

### Γυνὴ καὶ Ὄρνις.

Γυνή τις χήρα ὄρνιν εἶχε, καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ, ὡς εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δὲ ὄρνις, πιμελὴς γενομένη, οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

### Κύων καὶ Ἀλώπηξ.

Κύων θηρευτικὸς Λέοντα ἰδὼν, τοῦτον ἐδίωκεν. Ὡς δὲ ἐπιστραφεὶς ἐκεῖνος ἐβρυχήσατο, ὁ κύων φοβηθεὶς εἰς τὰ ὀπίσω ἔφυγεν. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν, ἔφη· Ὦ κακὴ κεφαλή! σὺ λέοντα ἐδίωκες, οὗ τινος οὐδὲ τὸν βρυχηθμὸν ὑπήνεγκας;

### Χελώνη καὶ Ἀετός.

Χελώνη Ἀετοῦ ἐδεῖτο ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀπενεγκὼν, εἶτ' ἀφῆκεν. Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

### Γέρων καὶ Θάνατος.

Γέρων ποτὲ ξύλα κόψας, ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε, καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐν τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐκεκαλεῖτο. Τοῦ δὲ θανάτου παρόντος,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ πυνθανομένου τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη. Ἵνα μου τὸν φόρτον ἄρῃς.

Μύρμηκες καὶ Τέττιξ.

Χειμῶνος ὥρᾳ, τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ. Διὰ τί τὸ θέρος οὐ συνῆγες τροφήν; Ὁ δὲ εἶπεν, οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. Οἱ δὲ γελάσαντες, εἶπον. Ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

Ἀλώπηξ καὶ Λέων.

Ἀλώπηξ, μήπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. Ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μέν, οὐ μὴν ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάῤῥησεν, ὡς καὶ προσελθοῦσα διαλεχθῆναι.

Βάτραχοι.

Βάτραχοι δύω ἐν λίμνῃ ἐνέμοντο. Θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος θατέρῳ φησί. Συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ. Ὁ δὲ ὑπολαβών, εἶπεν. Ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ὄνος ἄγριος καὶ ἥμερος.

Ὄνος ἄγριος ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν, ἐπί τε τῇ εὐεξίᾳ τοῦ σώματος, καὶ τῇ τῆς τρυφῆς ἀπολαύσει. Ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη. Ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γάρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Λύκος καὶ Γέρανος.

Λύκου λαιμῷ ὀστέον ἐπεπήγει. Ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. Ἡ δέ, τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. Ὁ δὲ γελάσας, καὶ τοὺς ὀδόντας θήξας, Ἀρκεῖ σοι μισθός, ἔφη, τοῦτο καὶ μόνον· ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξεῖλες κάραν σῶαν, καὶ μηδὲν παθοῦσαν.

Παπαχαραλάμπειος Δημόσια Κεντρική
Βιβλιοθήκη Ναυπάκτου

Κόραξ καὶ Ἀλώπηξ.

Κόραξ, κρέας ἁρπάσας, ἐπί τινος δένδρου ἐκάθισεν. Ἀλώπηξ δὲ, τοῦτον θεασαμένη, βουλομένη δὲ καὶ τὸ κρέας ἁρπᾶσαι, στᾶσα ἐπήνει αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλὸν, λέγουσα καὶ ὅτι πρέπει μάλιστα αὐτὸν τῶν ὀρνέων βασιλεύειν, καὶ τοῦτο πάντως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν. Ὁ δὲ βαλὼν τὸ κρέας, μεγάλα ἔκραγεν. Ἐκείνη δὲ προσδραμοῦσα, ἔφη· Ὦ κόραξ, εἰ καὶ φρένας εἶχες, οὐδὲν ἐδέησέ σοι εἰς τὸ βασιλεύειν.

---

# ΙΕΡΟΚΛΕΟΥΣ ΑΣΤΕΙΑ.

Σχολαστικὸς οἰκίαν πωλῶν, λίθον ἀπ' αὐτῆς εἰς δεῖγμα περιέφερε.

Σχολαστικὸς θέλων εἰδέναι, εἰ πρέπει αὐτῷ κοιμᾶσθαι, καμμύσας ἐσωπτρίζετο.

Σχολαστικὸς ἰατρῷ συναντήσας, Συγχώρησόν μοι, εἶπε, καὶ μή με μέμφῃ ὅτι οὐκ ἐνόσησα.

Σχολαστικὸς μαθὼν ὅτι ὁ κόραξ ὑπὲρ τὰ διακόσια ἔτη ζῇ, ἀγοράσας κόρακα, εἰς ἀπόπειραν ἔτρεφε.

Σχολαστικὸς οἰκίαν πριάμενος, καὶ τῆς θυρίδος προκύψας, ἠρώτα τοὺς παριόντας, εἰ πρέπει αὐτῷ ἡ οἰκία.

Σχολαστικὸς μῦν θέλων συλλαβεῖν συνεχῶς τὰ βιβλία αὐτοῦ τρώγοντα, κρέας δακὼν, ἐναντία ἐκάθισε.

Διδύμων ἀδελφῶν εἷς ἐτελεύτησε. Σχολαστικὸς οὖν ἀπαντήσας τῷ ζῶντι, ἠρώτα, Σὺ ἀπέθανες ἢ ὁ ἀδελφός σου;

Σχολαστικὸς φίλῳ συναντήσας εἶπε, καθ' ὕπνους σὲ ἰδὼν προσηγόρευσα. Ὁ δὲ, Σύγγνωθί μοι, εἶπεν, ὅτι οὐ προσέσχον.

Σχολαστικὸς ποταμὸν βουλόμενος περάσαι, ἀνῆλθεν εἰς τὸ πλοῖον ἔφιππος. Πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη, σπουδάζειν.

Σχολαστικὸς κολυμβᾶν βουλόμενος, παρὰ μικρὸν ἐπνίγη. Ὤμοσεν οὖν μὴ ἅψασθαι ὕδατος, ἐὰν μὴ πρῶτον μάθῃ κολυμβᾶν.

Σχολαστικοῦ παιδίον ἐτελεύτησεν. Ἰδὼν δὲ πλῆθος λαοῦ συνελθὸν ἔλεγεν. Αἰσχύνομαι εἰς τοσοῦτον ὄχλον μικρὸν παιδίον προσφέρειν.



Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Σχολαστικὸς ἰδὼν στρουθία ἐπὶ δένδρου, λάθρα ὑπεισελθὼν, ὑφηπλώσατο τὸν κόλπον, καὶ ἔσειε τὸ δένδρον, ὡς ὑποδεξάμενος τὰ στρουθία.

Σχολαστικὸς εἰς χειμῶνα ναυαγῶν, καὶ τῶν συμπλεόντων ἑκάστου περιπλεκομένων σκεῦός τι πρὸς τὸ σωθῆναι, ἐκεῖνος μίαν τῶν ἀγκυρῶν περιεπλέξατο.

Σχολαστικὸς ἀπορῶν δαπανημάτων, τὰ βιβλία αὐτοῦ ἐπίπρασκε, καὶ γράφων πρὸς τὸν πατέρα, ἔλεγε. Σύγχαιρε ἡμῖν, πάτερ, ἤδη γὰρ ἡμᾶς τὰ βιβλία τρέφει.

Σχολαστικὸς ναυαγεῖν μέλλων, πινακίδας ᾔτει ἵνα διαθήκας γράψῃ. Ὁρῶν δὲ τοὺς δούλους ἀλγοῦντας διὰ τὸν κίνδυνον, ἔφη· Μὴ λυπεῖσθε· ἐλευθερῶ γὰρ ὑμᾶς.

Σχολαστικὸς ἰατρῷ συναντήσας, ὑπό τινος τοίχου ἐκρύβη. Τινὸς δὲ πυνθανομένου τὴν αἰτίαν, ἔφη. Καιρὸν ἔχω μὴ ἀσθενήσας, καὶ αἰσχύνομαι εἰς ὄψιν ἐλθεῖν τοῦ ἰατροῦ.

Σχολαστικὸς κατ' ὄναρ ἰδὼν ἧλον πεπατηκέναι, καὶ δόξας ἀλγεῖν, τὸν πόδα ὕπαρ περιεδήσατο. Ἕτερος δὲ μαθὼν τὴν αἰτίαν, ἔφη· Διατί γὰρ ἀνυπόδητος κεκοίμησαι;

Σχολαστικὸς, νοσοῦντα ἐπισκεπτόμενος, ἠρώτα περὶ τῆς ὑγείας. Ὁ δὲ οὐκ ἠδύνατο ἀποκριθῆναι. Ὀργισθεὶς οὖν ἐξήλεγξεν. Ἐλπίζω κἀμὲ νοσήσειν, καὶ ἐλθόντι σοι μὴ ἀποκριθῆναι.

Σχολαστικὸς σχολαστικῷ συναντήσας, εἶπεν. Ἔμαθον ὅτι ἀπέθανες. Κἀκεῖνος, Ἀλλ' ὁρᾷς με, ἔφη ζῶντα. Καὶ ὁ σχολαστικὸς ἔφη· Καὶ μὴν ὁ εἰπών μοι πολλῷ σου ἀξιοπιστότερος ὑπάρχει.

Σχολαστικὸς θέλων τὸν ἵππον αὐτοῦ διδάξαι μὴ τρώγειν πολλὰ, οὐ παρέβαλεν αὐτῷ τροφάς. Ἀποθανόντος δὲ τοῦ ἵππου τῷ λιμῷ, ἔλεγε· Μέγα ἐζημιώθην! ὅτε γὰρ ἔμαθε μὴ τρώγειν, τότε ἀπέθανε.

Σχολαστικὸς ἀμιναῖαν ἔχων ἐσφράγισεν αὐτὴν, τοῦ δὲ δούλου κάτωθεν τρήσαντος, καὶ τὸν οἶνον αἴροντος, ἐθαύμαζεν ὅτι τῶν σημάντρων σώων ὄντων, ὁ οἶνος ἠλαττοῦτο, ἕτερος εἶπεν, ὅρα μὴ κάτωθεν ἀφηρέθη. Ὁ δὲ, Ἀμαθέστατε, εἶπεν, οὐ τὸ κάτωθεν λείπει, ἀλλὰ τὸ ἄνωθεν μέρος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

# ΕΚ ΤΩΝ ΤΟΥ ΛΑΕΡΤΙΟΥ.

Θαλῆς.

Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς τί δύσκολον; ἔφη· Τὸ ἑαυτὸν γνῶναι.—Ἐρωτηθεὶς εἰ λήθοι θεοὺς ἄνθρωπος ἀδικῶν, Ἀλλ' οὐδὲ διανοούμενος, ἔφη.—Ἐρωτηθεὶς πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν; Ἐὰν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν.—Οὓς ἂν ἐράνους εἰσενέγκῃς, ἔφη, τοῖς γονεῦσι, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων.

Χείλων.

Χείλων ὁ Λακεδαιμόνιος, πρὸς τὸν ἀδελφὸν δυσφοροῦντα ὅτι μὴ ἔφορος ἐγένετο, αὐτοῦ ὄντος, Ἐγὼ μὲν γὰρ ἐπίσταμαι, εἶπεν, ἀδικεῖσθαι, σὺ δὲ οὔ.— Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἔφη, Ἐλπίσιν ἀγαθαῖς.— Ταχύτερον ἔλεγε δεῖν ἐπὶ τὰς ἀτυχίας τῶν φίλων, ἢ ἐπ τὰς εὐτυχίας πορεύεσθαι.— 1. Ἐρωτηθεὶς, τί χαλεπώτατον; Τὸ γιγνώσκειν ἑαυτὸν, ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι μάτην.

Βίας.

Βίας ἐρωτηθεὶς ὑπὸ ἀσεβοῦς ἀνθρώπου, τί ποτέ ἐστιν εὐσέβεια; ἐσίγα. Τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυνθανομένου, Σιωπῶ, ἔφη, ὅτι περὶ τῶν οὐδέν σοι προσηκόντων πυνθάνῃ.— Ἐρωτηθεὶς τί γλυκὺ ἀνθρώποις; Ἐλπὶς, ἔφη.— Ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων· τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δ' ἐχθρῶν τὸν ἕτερον φίλον.— Ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος, τέρπεται; ἔφη, Κερδαίνων.— Ἔλεγε τὸν βίον οὕτω δεῖν μετρεῖν, ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους.— Συνεβούλευεν ἐφόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλαμβάνειν σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῶν ἄλλων κτημάτων.

Ἀνάχαρσις.

Ἀνάχαρσις ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι Σκύθης ἐστὶν, ἔφη· Ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρὶς, σὺ δὲ τῆς πατρίδος.— Ἐρωτηθεὶς τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον; ἔφη· Γλῶσσα.—Κρεῖττον ἔλεγεν ἕνα φίλον ἔχειν πολλοῦ

1. Ἐκ τῶν τοῦ Στοβαίου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους.—Τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυς· τὸν πρῶτον, ἡδονῆς, τὸν δεύτερον, μέθης, τὸν τρίτον, ἀηδίας.—Ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς,ἔφη· Μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον οὐ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις.—1.Ἐρωτηθεὶς ὑπό τινος τί ἐστι πολέμιον ἀνθρώποις; Αὐτοὶ, ἔφη, ἑαυτοῖς.—Ἐρωτηθεὶς, πῶς ἄν τις μὴ μεθύσκοιτο; Εἰ, φησὶν, ὁρῴη τοὺς μεθύοντας οἷα ποιοῦσι.

## Σωκράτης.

Σωκράτης, πολλάκις ἀφορῶν εἰς τὰ πλήθη τῶν πιπρασκομένων,ἔλεγε πρὸς αὐτὸν, Πόσων ἐγὼ χρείαν οὐκ ἔχω!—Ἔλεγε δὲ καὶ ἓν μόνον ἀγαθὸν εἶναι τὴν ἐπιστήμην,καὶ ἓν μονον κακὸν τὴν ἀμαθίαν· πλοῦτον δὲ καὶ εὐγένειαν οὐδὲν σεμνὸν ἔχειν πᾶν δὲ τοὐναντίον κακόν.—Ἐρωτηθείς ποτε τίς ἀρετὴ νέου; Τὸ μηδὲν ἄγαν,εἶπεν.—Ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν ἵν' ἐσθίοιεν, αὐτὸν δὲ ἐσθίειν,ἵνα ζώη.—Πρὸς τὸν εἰπόντα, κακῶς ὁ δεῖνά σε λέγει. Καλῶς γὰρ, ἔφη, λέγειν οὐκ ἔμαθεν.—2.Ἡ Ξανθίππη ἔλεγε,μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν, ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον θεάσασθαι, καὶ προϊόντος ἐκ τῆς οἰκίας, καὶ ἐπανιόντος.—Ἰδὼν δὲ μειράκιον πλούσιον καὶ ἀπαίδευτον, Ἰδοὺ, ἔφη,χρυσοῦν ἀνδράποδον.

## Πλάτων.

Πλάτων, νέος ὢν, οὕτως ἦν αἰδήμων καὶ κόσμιος, ὥστε μηδέποτε ὀφθῆναι γελῶν ὑπεράγαν.—Λέγεταί ποτε,θεασάμενος τινὰ κυβεύοντα αἰτιάσασθαι, τοῦ δὲ εἰπόντος ὡς ἐπὶ μικροῖς, Ἀλλὰ τόγε ἔθος, εἶπεν, οὐ μικρόν.—Εἰσελθόντος ποτὲ Ξενοκράτους, εἶπε μαστιγῶσαι τὸν παῖδα, αὐτὸν γὰρ μὴ δύνασθαι, διὰ τὸ ὠργίσθαι. Ἀλλὰ καὶ πρός τινα τῶν παίδων, Μεμαστίγωσο ἂν,εἶπεν,εἰμὴ ὠργιζόμην.—Ἐφ' ἵππου καθίσας εὐθέως κατέβη, φήσας εὐλαβεῖσθαι μὴ ἱπποτυφίᾳ ληφθῇ.—Τοῖς μεθύουσι συνεβούλευε κατοπτρίζεσθαι· ἀποστήσεσθαι γὰρ τῆς τοιαύτης ἀσχημοσύνης.—3.Ἰδὼν δέ τινα θρασυνόμενον πρὸ τὸν ἑαυτοῦ πατέρα, Οὐ παύσῃ,μειράκιον, εἶπε,τούτου καταφρονῶν,δι' ὃν μέγα φρονεῖν ἀξιοῖς;—4.Ὁσά-

1–3 Ἐκ τοῦ Στοβ. 4. Ἐκ τοῦ Πλουτάρχ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

κις ἀσχημονοῦσιν ἀνθρώποις παραγένοιτο, αὐτὸς ἀπιὼν εἰώθει λέγειν, Μήπη ἄρ' ἐγὼ τοιοῦτος;

## Ἀριστοτέλης.

Ἀριστοτέλης ἐρωτηθεὶς, τί περιγίνεται κέρδος τοῖς ψευδομένοις; Ὅταν, ἔφη, λέγωσιν ἀλήθειαν μὴ πιστεύεσθαι.— Ὀνειδιζόμενος ποτε ὅτι πονηρῷ ἀνθρώπῳ ἔδωκεν ἐλεημοσύνην, Οὐ τὸν τρόπον, εἶπεν, ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα.—Τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι πυροὺς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ μή.—Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; Ὅσῳ, εἶπεν, οἱ ζῶντες τῶν τεθνηκότων.— Τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς ευτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν. Τῆς παιδείας ἔφη τὰς μὲν ῥίζας εἶναι πικρὰς, τοὺς δὲ καρποὺς, γλυκεῖς.—Πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη, Οὐ τοῦτο, ἔφη δεῖν σκοπεῖν, ἀλλ' εἴ τις μεγάλης πατρίδος ἄξιός ἐστιν. Ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταί; ἔφη, Ἐὰν τοὺς προέχοντας διώκοντες, τοὺς ὑστεροῦντας μὴ ἀναμένωσιν.—Ἐρωτηθεὶς πῶς ἂν τοῖς φίλοις προσφεροίμεθα; ἔφη· Ὡς ἂν εὐξαίμεθα αὐτοὺς ἡμῖν προσφέρεσθαι.— 1.Ἐνοχλούμενος ὑπὸ ἀδολέσχου καὶ κοπτόμενος ἀτόποις τισὶ διηγήμασι, πολλάκις αὐτοῦ λέγοντος, οὐ θαυμαστὸν ὅ,τι λέγω; Οὐ τοῦτο, φησὶ, θαυμαστὸν, ἀλλ' εἴ τις πόδας ἔχων σὲ ὑπομένει.–2.Τοὺς τὰ ἐναργῆ πράγματα πειρωμένους δεικνύναι, Ὅμοιον, ἔφη, ποιεῖν, τοῖς διὰ λύχνου τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

## Ζήνων.

Ζήνων δοῦλον ἐπὶ κλοπῇ ἐμαστίγου. Τοῦ δὲ εἰπόντος, εἵμαρτό μοι κλέψαι. Καὶ δαρῆναι, ἔφη.—Πρὸς τὸ φλυαροῦν μειράκιον, Διὰ τοῦτο, ἔφη, δύο ὦτα ἔχομεν, στόμα δὲ ἓν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν.—Νεανίσκου πολλὰ λαλοῦντος, Ζήνων ἔφη· Τὰ ὦτά σου εἰς τὴν γλῶσσαν συνεῤῥύηκε.—Μειρακίου δὲ περιεργότερον παρὰ τὴν ἡλικίαν ἐρωτῶντος ζήτημά τι, προσήγαγε πρὸς κάτοπτρον, καὶ ἐκέλευσεν ἐμβλέψαι, ἔπειτα ἠρώτησεν, εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τοιαύτῃ ζητήματα.—Πάντων ἔλεγεν ἀπρεπέστερον

1. Πλουτάρ. 2. Στοβ.

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

εἶναι τὸν τῦφον, καὶ μάλιστα ἐπὶ τῶν νέων.—Δεῖν ἔλεγε τοὺς νέους πάσῃ κοσμιότητι χρῆσθαι, καὶ πορείᾳ καὶ σχήματι, καὶ περιβολῇ.—Ἔλεγε δὲ κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθεῖν ἢ τῇ γλώττῃ.— 1. Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος, κληθεὶς ὑπ' αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν πολυμάθειαν, αὐτὸς ἐσίγα. Τῶν δὲ πρέσβεων ζητούντων, τί ἀπαγγείλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον; Τοῦτο αὐτὸ, ἔφη, ὃ βλέπετε.

## Ἀρίστιππος.

Ἀρίστιππος ἐρωτηθεὶς, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας; ἔφη· Τὸ δύνασθαι πᾶσι θαῤῥούντως ὁμιλεῖν.—Ἐρωτηθείς ποτε, τί πλέον ἔχουσιν οἱ φιλόσοφοι; ἔφη· Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν.—Ἐρωτηθεὶς ὑπὸ Διονυσίου, διατί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι; ἔφη, Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασι. Λοιδορούμενός ποτε ἀνεχώρει. Τοῦ δὲ ἐπιδιώκοντος εἰπόντος, τί φεύγεις; Ὅτι, φησὶ, τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν, ἐγώ.— Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἔφη· Ὥσπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων.—Ἐρωτηθεὶς τίνα ἐστὶν ἃ δεῖ τοὺς παῖδας μανθάνειν; ἔφη, Οἷς, ἄνδρες γενόμενοι, χρήσονται.—Ἐρωτηθεὶς ὑπό τινος, τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς; Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδήσεται λίθος ἐπὶ λίθῳ.—Ἄμεινον, ἔφη, ἐπαίτην ἢ ἀπαίδευτον εἶναι· Οἱ μὲν γὰρ (ἐπαῖται) χρημάτων, οἱ δὲ (ἀπαίδευτοι) ἀνθρωπισμοῦ δέονται.—Σεμνυνομένου τινὸς ἐπὶ πολυμαθίᾳ, ἔφη· Ὥσπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ, ἀλλ' οἱ χρήσιμα ἀναγινώσκοντες εἰσὶ σπουδαῖοι.—Συνιστάντος τινὸς αὐτῷ τὸν υἱὸν, ᾔτησε πεντακοσίας δραχμάς. Τοῦ δὲ εἰπόντος, τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι, Πρίω, ἔφη, καὶ ἕξεις δύω.— Τοῦ θεράποντος ἐν ὁδῷ βαστάζοντος ἀργύριον, καὶ βαρυνομένου, Ἀπόχεε, ἔφη, τὸ πλέον, καὶ ὅσον δύνασαι, βάσταζε.

1. Στοβ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

## Ἀντισθένης.

1. Ἀντισθένης ποτὲ ἐπαινούμενος ὑπὸ πονηρῶν, Ἀγωνιῶ, ἔφη, μή τι κακὸν εἴργασμαι.—Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.— Ἐρωτηθεὶς, τί αὐτῷ περιγένονεν ἐκ φιλοσοφίας; ἔφη· Τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν.—Ἐρωτηθεὶς τί τῶν μαθημάτων ἀναγκαιότατον; ἔφη· Τὸ κακὰ ἀπομαθεῖν.—Συνεβούλευεν Ἀθηναίοις, τοὺς ὄνους ἵππους ψηφίσασθαι. Ἄλογον δὲ ἡγουμένων, Ἀλλὰ μὴν καὶ σαρατηγοὶ, φησὶ, γίγνονται παρ' ὑμῶν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες. Πρὸς τὸν εἰπόντα πολλοί σου ἐπαινοῦσι. Τί γὰρ, ἔφη, κακὸν πεποίηκα;—2. Αἱρετώτερον εἶπεν εἶναι εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν· οἱ μὲν γὰρ, ἀποθανόντος τὸ σῶμα, οἱ δὲ, ζῶντος τὴν ψυχὴν λυμαίνονται.— Ἐρωτηθεὶς, τί δήποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπιᾶσιν, ἀλλ' ἀνάπαλιν; εἶπεν· Ὅτι οἱ σοφοὶ ἴσασιν ὧν ἔστιν αὐτοῖς χρεία.

## Διογένης.

Διογένης ἔλεγεν, ὡς ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ, καὶ ἰατροὺς, καὶ φιλοσόφους, συνετώτατον τῶν ζώων εἶναι τὸν ἄνθρωπον, ὅταν δὲ πάλιν ὀνειροκρίτας, καὶ μάντεις, καὶ τοὺς προσέχοντας τούτοις, ἢ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους, οὐδὲν ματαιότερον νομίζειν ἀνθρώπου.— Σπουδαιολογουμένῳ ποτὲ, ὡς οὐδεὶς προσῄει, ἐπέβαλε τερετίζειν. Ἀθροισθέντων δὲ, ὠνείδισεν, Ὡς ἐπὶ μὲν τοὺς φληνάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ σπουδαῖα, βραδυνόντων ὀλιγώρως.—Πρὸς τὸν εἰπόντα κακὸν εἶναι τὸ ζῆν· Οὐ τὸ ζῆν, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν.—Λύχνον μεθ' ἡμέραν ἅψας, Ἄνθρωπον, φησὶ, ζητῶ.—Ὅτε ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη, τί οἶδε ποιεῖν; ἀπεκρίνατο· Ἀνδρῶν ἄρχειν. Καὶ πρὸς τὸν κήρυκα, Κήρυσσε, ἔφη, εἴ τις ἐθέλει δεσπότην αὑτῷ πρίασθαι. Ἔλεγε τῷ Ξενιάδῃ τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ, ἢ καὶ δοῦλος εἴη, καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος εἴη, πεισθῆναι δεῖν αὐτῷ.—Μοχθηροῦ τινος ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, Μηδὲν εἰσίτω κακόν. Ὁ οὖν κύριος τῆς οἰκίας, ἔφη, ποῦ εἰσέλθοι;— Ἀξιούντων Ἀθηναίων μυηθῆναι

---

1–2. Στοβ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

αὐτὸν, καὶ λεγόντων, ὡς ἐν ᾅδου προεδρίας οἱ μεμυημένοι τυγχάνουσι, Γελοῖον, ἔφη, εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι, ἐν ταῖς Μακάρων νήσοις ἔσονται.—Ἐκ τοῦ βαλανείου ἐξιών, τῷ μὲν πυθομένῳ εἰ πολλοὶ ἄνθρωποι λοῦνται, ἠρνήσατο· τῷ δὲ εἰ πολὺς ὄχλος, ὡμολόγησε.— Πρὸς τὸν πυθόμενον ποίᾳ ὥρᾳ δεῖ ἀριστᾷν; Εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ, εἰ δὲ πένης, ὅταν ἔχῃ. — Θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον Πράσιμος, Ἤδειν, εἶπεν, ὅτι οὕτω κραιπαλῶσα, ῥαδίως ἐξεμέσεις τὸν κεκτημένον. Ἐρωτηθεὶς, τί τῶν θηρίων κάκιστα δάκνει; ἔφη· Τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.—Ἰδὼν ποτὲ μειράκιον ἐρυθριῶν, Θάῤῥει, ἔφη, τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα. — Τοὺς ἀσώτους, εἶπε παραπλησίους εἶναι συκαῖς ἐπὶ κρημνῷ πεφυκυίαις, ὧν τοῦ καρποῦ μὲν ἄνθρωπος οὐκ ἀπογεύσεται, κόρακες δὲ καὶ γύπες ἐσθίουσιν.—Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας; ἔφη· Καὶ εἰ μηδὲν ἄλλο, τὸ γοῦν πρὸς πᾶσαν τύχην παρεσκευάσθαι.—Θυόντων τινῶν τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι, ἔφη· Περὶ δὲ τοῦ ποδαπῶς ἐκβῇ, οὐ θύετε; Τὴν παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι.—Ἄσωτον ᾔτει μνᾶν. Τοῦ δὲ εἰπόντος, διατί τοὺς μὲν ἄλλους τριώβολα, ἐμὲ δὲ μνᾶν αἰτεῖς; ἔφη· Παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν λαβεῖν, παρὰ δὲ σοῦ, θεῶν ἐν γούνασι κεῖται.—1. Ἐρωτηθεὶς, ὅπως ἂν τις ἀμύναιτο τὸν ἐχθρόν, Αὐτὸς ἔφη, καλὸς γενόμενος.—2. Διογένης, ἡνίκα ἀπέλιπε τὴν πατρίδα, εἷς αὐτῷ τῶν οἰκετῶν ἠκολούθει, ὄνομα Μάνης, ὃς οὐ φέρων τὴν μετ' αὐτοῦ διατριβὴν ἀπέδρα· Προτρεπόντων δέ τινων ζητεῖν αὐτὸν, ἔφη, Οὐκ αἰσχρὸν, Μάνην μὲν μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους;

1. Πλουταρχ. 2. Αἰλιαν.

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

# ΕΚ ΤΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΤΟΥ
# ΠΛΟΥΤΑΡΧΟΥ·

Δαρεῖος.

Δαρεῖος, ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιάζων, ἔλεγεν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ γίγνεσθαι φρονιμώτερος.— Τοὺς δὲ φόρους τοῖς ὑπηκόοις τάξας μετεπέμψατο τοὺς πρώτους τῶν ἐπαρχιῶν, καὶ περὶ τῶν φόρων ἠρώτησε μὴ βαρεῖς εἰσί· Φησάντων δὲ μετρίως ἔχειν, ἐκέλευσε τελεῖν τοὺς ἡμίσεις ἕκαστον.— Ῥοιὰν δὲ μεγάλην ἀνοίξας, πυθομένου τινὸς τί ἂν ἔχειν βούλοιτο τοσοῦτον, ὅσον ἐστὶ τῶν κόκκων τὸ πλῆθος, εἶπε, Ζωπύρους. Ἦν δὲ ἀνὴρ ἀγαθὸς καὶ φίλος ὁ Ζώπυρος.

Ἀρταξέρξης.

Ἀρταξέρξης ὁ Ξέρξου, ὁ μακρόχειρ προσαγορευθεὶς διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν ὅτι τὸ προσθεῖναι τοῦ ἀφελεῖν βασιλικώτερόν ἐστι. — Σατιβαρζάνην δὲ τὸν κατακοιμιστὴν αἰτούμενόν τι παρ' αὐτοῦ τῶν μὴ δικαίων, αἰσθόμενος ἐπὶ δισμυρίοις δαρεικοῖς τοῦτο ποιοῦντα, προσέταξε τῷ ταμίᾳ τρισμυρίους δαρεικοὺς κομίσαι, καὶ διδοὺς αὐτῷ, Λάβε, εἶπεν, ὦ Σατιβαρζάνη· ταῦτα μὲν γὰρ δοὺς οὐκ ἔσομαι πενέστερος, ἐκεῖνα δὲ πράξας, ἀδικώτερος.

Φίλιππος.

Φίλιππος, ὁ Ἀλεξάνδρου πατὴρ, Ἀθηναίους μακαρίζειν ἔλεγεν, εἰ καθ' ἕκαστον ἐνιαυτὸν αἱρεῖσθαι δέκα στρατηγοὺς εὑρίσκουσιν· αὐτὸς γὰρ ἐν πολλοῖς ἔτεσιν ἕνα μόνον στρατηγὸν εὑρηκέναι, Παρμενίωνα.— Πολλῶν δὲ κατορθωμάτων αὐτῷ καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων, Ὦ τύχη, εἶπε, μικρόν τί μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.— Ἐπεὶ δὲ νικήσαντι τοὺς Ἕλληνας αὐτῷ συνεβούλευον ἔνιοι φρουραῖς τὰς πόλεις κατέχειν, ἔφη μᾶλλον πολὺν χρόνον ἐθέλειν χρηστὸς ἢ δεσπότης ὀλίγον καλεῖσθαι.— Τοῖς δὲ τῶν Ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν, ὅτι λοιδοροῦντες αὐτὸν, βελτίονα ποιοῦσι καὶ τῷ λόγῳ καὶ τῷ ἤθει, πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειν.— Γενόμενος δὲ κριτὴς δυοῖν πονηροῖν, ἐκέλευσε τὸν μὲν φεύγειν ἐκ Μακεδονίας, τὸν δὲ ἕτερον διώ-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ὠκειν.— Ἐπεὶ δὲ διενεχθέντος αὐτοῦ πρὸς Ὀλυμπιάδα τὴν γυναῖκα καὶ τὸν υἱὸν, ἧκε Δημάρατος ὁ Κορίνθιος, ἐπυνθάνετο πῶς πρὸς ἀλλήλους ἔχουσιν οἱ Ἕλληνες; Καὶ ὁ Δημάρατος, πάνυ γοῦν, ἔφη, σοὶ περὶ τῆς τῶν Ἑλλήνων ὁμονοίας ὁ λόγος ἐστὶν, οὕτω πρὸς σὲ τῶν οἰκειοτάτων ἐχόντων. Ὁ δὲ συμφρονήσας, ἐπαύσατο τῆς ὀργῆς, καὶ διηλλάγη πρὸς αὐτούς.

## Ἀλέξανδρος.

Ἀλέξανδρος ἔτι παῖς ὢν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας, Ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει. Τῶν δὲ παίδων λεγόντων ὅτι, Ταῦτά σοι κτᾶται· Τί δὲ ὄφελος, εἶπεν, ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν;— Περίλλου δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν. Αὐτοῦ δὲ φήσαντος ἱκανὰ εἶναι δέκα, Σοίγε, ἔφη, λαβεῖν, ἐμοὶ δ' οὐχ ἱκανὰ δοῦναι.— Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ. Τοῦ δὲ διοικητοῦ φήσαντος ὡς ἑκατὸν αἰτεῖται τάλαντα, Καλῶς, ἔφη, ποιεῖ, γινώσκων ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον.— Παρατασσομένου δὲ τοῦ στρατεύματος εἰς μάχην, ἰδὼν τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον, ἐξέωσε τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζεται δὴ νῦν, ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις.— Τῶν δὲ Ἰνδῶν τὸν ἄριστα δοκοῦντα τοξεύειν καὶ λεγόμενον διὰ δακτυλίου τὸν οἰστὸν ἀφιέναι, λαβὼν αἰχμάλωτον, ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον, ὀργισθεὶς ἀνελεῖν προσέταξεν. Ἐπεὶ δὲ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολλῶν ἡμερῶν οὐ μεμελέτηκε, καὶ ἐφοβήθη διαπεσεῖν, ἀκούσας ὁ Ἀλέξανδρος ἐθαύμασε, καὶ ἀπέλυσε μετὰ δώρων αὐτὸν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν, ἢ τῆς δόξης ἀνάξιος φανῆναι.—Ξενοκράτῃ δὲ τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν, Εἰ μὴ δὲ φίλον ἔχει Ξενοκράτης· ἐμοὶ γὰρ, ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσε.— Πυθόμενος δὲ ὑπό τινος λοιδορεῖσθαι, Βασιλικὸν, ἔφη, ἐστὶν, εὖ ποιοῦντα κακῶς ἀκούειν.— 1. Διογέ-

1. Στοβ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νει εἰς λόγους ἐλθὼν, οὕτω κατεπλάγη τὸν βίον καὶ τὸ ἀξίωμα τοῦ ἀνδρὸς, ὥστε πολλάκις αὐτοῦ μνημονεύων λέγειν, Εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην.

### Ἀντίγονος.

Ἀντίγονος ἰδών τινας τῶν στρατιωτῶν ἐν τοῖς θώραξι καὶ τοῖς κράνεσι σφαιρίζοντας, ἥσθη, καὶ τοὺς ἡγεμόνας αὐτῶν μετεπέμπετο, ἐπαινέσαι βουλόμενος. Ὡς δὲ ἤκουσεν ὅτι πίνουσι, τὰς ἐκείνων ἡγεμονείας τοῖς στρατιώταις ἔδωκε.— Θαυμαζόντων δὲ πάντων, ὅτι γέρων γενόμενος ἠπίως ἐχρῆτο καὶ πρᾴως τοῖς πράγμασι, Πρότερον μὲν γὰρ, εἶπε, δυνάμεως ἐδεόμην, νῦν δὲ δόξης καὶ εὐνοίας.— Πρὸς δὲ τὸν υἱὸν Φίλιππον πυθόμενον πλειόνων παρόντων, Πότε μέλλομεν ἀναζευγνῦναι; Τί δέδοικας, εἶπε, μὴ μόνος οὐκ ἀκούσῃς τῆς σάλπιγγος;— Νοσήσας δὲ μακρὰν νόσον, ὡς ἀνέῤῥωσεν, Οὐδὲν, ἔφη, χεῖρον· ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν, ὡς ὄντας θνητούς.— Εἰπόντος δέ τινος ὅτι πάντα καλὰ καὶ δίκαια τοῖς βασιλεῦσι, Ναὶ, μὰ Δία, εἶπε, τοῖς τῶν βαρβάρων, ἡμῖν δὲ μόνα καλὰ, τὰ καλὰ, καὶ μόνα δίκαια, τὰ δίκαια.— Μαρσύου τοῦ ἀδελφοῦ δίκην ἔχοντος, ἀξιοῦντος δὲ τὴν κρίσιν αὐτῷ γενέσθαι κατ' οἰκίαν, Ἔσται μὲν οὖν, εἶπεν, ἐν τῇ ἀγορᾷ, καὶ πάντων ἀκουόντων, εἰ μηδὲν ἀδικοῦμεν.— Ἐπεὶ δέ ποτε χειμῶνος ἐν τόποις σπανίζουσι τῶν ἐπιτηδείων ἠνάγκασε καταζεῦξαι, καὶ τῶν στρατιωτῶν τινες ἐλοιδόρουν αὐτὸν, ἀγνοοῦντες ὅτι πλησίον ἐστι, τῇ βακτηρίᾳ τὴν σκηνὴν διαστείλας, Οἰμώξετε, εἶπεν, εἰ μὴ μακρότερον ἀποστάντες λοιδορήσετε ἡμᾶς.

### Ἀντίγονος Β'.

Ἀντίγονος ὁ δεύτερος, Δημητρίου τοῦ πατρὸς ἁλόντος, καὶ πέμψαντός τινα τῶν φίλων, κελεύοντος μὴ προσέχειν ἄν τι γράφῃ βιασθεὶς ὑπὸ Σελεύκου, μηδὲ παραχωρεῖν τῶν πόλεων, αὐτὸς ἔγραψε πρὸς Σέλευκον, ἐξιστάμενος αὐτῷ τῆς ἀρχῆς ἁπάσης, καὶ παραδιδοὺς ὅμηρον ἑαυτὸν ἐπὶ τῷ τὸν πατέρα Δημήτριον ἀπολυθῆναι.— Ἐπειδὴ δὲ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης, ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφοράς, Ἀλλ' ἐγὼ, εἶπεν, ὦ μειράκιον, ἀνδραγαθίας, οὐ πατραγαθίας μισθοὺς καὶ δωρεὰς δίδωμι.—Ζήνωνος δὲ τοῦ Κιτιέως ἀποθα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπλίτου

νόντος, ὃν μάλιστα τῶν φιλοσόφων ἐθαύμασεν, ἔλεγε, Τὸ θέατρον αὐτοῦ τῶν πράξεων ἀνῃρῆσθαι.

Φωκίων.

Φωκίων ὁ Ἀθηναῖος ὑπ' οὐδενὸς οὔτε γελῶν ὤφθη, οὔτε δακρύων.— Ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους, εἶπεν, Οὐ δήπου κακόν τι λέγων ἐμαυτὸν λέληθα;— Ὀργιζομένων δὲ τοῖς Βυζαντίοις τῶν Ἀθηναίων, μὴ δεξαμένοις τῇ πόλει Χάρητα πεμφθέντα μετὰ δυνάμεως βοηθὸν αὐτοῖς πρὸς Φίλιππον, εἰπὼν ὁ Φωκίων, ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν ὀργίζεσθαι, αὐτὸς ᾑρέθη στρατηγός, καὶ πιστευθεὶς ὑπὸ τῶν Βυζαντίων, ἐποίησε τὸν Φίλιππον ἀπελθεῖν ἄπρακτον.— Ἀλεξάνδρου δὲ τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν αὐτῷ πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας, τί δήποτε πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν Ἀλέξανδρος; Εἰπόντων δ' ἐκείνων ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, Οὐκοῦν, ἔφη, ἐασάτω με, καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον.— Ἀξιοῦντος δὲ Ἀντιπάτρου ποιῆσαί τι τῶν μὴ δικαίων αὐτὸν, Οὐ δύνασαι, εἶπεν, Ἀντίπατρε, καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι.

Ἐπαμεινώνδας.

Ἐπαμεινώνδας, τὸν ὑπασπιστὴν αἰσθόμενος εἰληφότα χρήματα πολλὰ παρ' ἀνδρὸς αἰχμαλώτου γεγονότος, Ἐμοὶ μὲν, εἶπεν, ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον, ἐν ᾧ καταζήσεις· οὐκ ἔτι γὰρ ἐθέλεις κινδυνεύειν ὁμοίως, εἷς τῶν πλουσίων γεγονὼς καὶ μακαρίων.— Ἰάσονος δὲ τοῦ Θεσσαλῶν μονάρχου συμμάχου εἰς Θήβας παραγενομένου, δισχιλίους δὲ χρυσοῦς τῷ Ἐπαμεινώνδᾳ πέμψαντος ἰσχυρῶς πενομένῳ, τὸ χρυσίον οὐκ ἔλαβε, τὸν δὲ Ἰάσονα θεασάμενος, Ἀδίκων, ἔφη, χειρῶν ἄρχεις· αὐτὸς δὲ πεντήκοντα δραχμὰς δανεισάμενος παρά τινος τῶν πολιτῶν, ἐφόδιον τῆς στρατιᾶς, ἐνέβαλεν εἰς Πελοπόννησον.— Αὖθις δὲ τοῦ Περσῶν βασιλέως τρισμυρίους δαρεικοὺς ἀποστείλαντος αὐτῷ, καθήψατο πικρῶς Διομέδοντος, εἰ τοσοῦτον πλοῦν πέπλευκε διαφθερῶν Ἐπαμεινώνδαν· πρὸς δὲ βασιλέα λέγειν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἐκέλευσεν, ὅτι τὰ συμφέροντα Θηβαίοις φρονῶν, ἕξει προῖκα φίλον Ἐπαμεινώνδαν, τὰ δὲ μὴ συμφέροντα, πολέμιον.

Ἀγησίλαος. (*)

Ἀγησίλαος ὁ μέγας παρὰ πότον ποτὲ λαχὼν συμποσίαρχος, ἐρωτηθεὶς ὑπὸ τοῦ οἰνοχόου, πόσον ἑκάστῳ προσφέροι, εἰ μὲν πολὺς οἶνός ἐστι παρεσκευασμένος, ὅσον ἕκαστος αἰτεῖ· εἰ δὲ ὀλίγος, φησίν, ἐξ ἴσου δίδου πᾶσιν.—Ἐπαινοῦντος δέ τινος ῥήτορα ἐπὶ τὸ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, Οὐδὲ σκυτοτόμον, ἔφησεν, ἡγοῦμαι σπουδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησιν.—Ὁπότε δὲ ψεγόντων ἢ ἐπαινούντων τινῶν ἀκούοι, οὐχ ἧττον ᾤετο δεῖν καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν.—Ἔτι δὲ παῖδα αὐτὸν ὄντα, γυμνοπαιδίας ἀγομένης, ὁ χοροποιὸς ἔστησεν εἰς ἄσημον τόπον. Ὁ δὲ ἐπείσθη, καίπερ ἤδη βασιλεὺς ἀποδεδειγμένος, καὶ εἶπεν, Εὖγε, ἐδείξω γάρ, ὅτι οὐχ οἱ τόποι τοὺς ἄνδρας ἐντίμους, ἀλλ' οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσι.—Πρὸς δὲ τὸν θαυμάζοντα τὴν μετριότητα τῆς ἐσθῆτος καὶ τῆς τροφῆς αὐτοῦ καὶ τῶν ἄλλων Λακεδαιμονίων, Ἀντὶ ταύτης, ἔφη, τῆς διαίτης, ὦ ξένε τὴν ἐλευθερίαν ἀμώμεθα.—Θεασάμενος δὲ ἐπὶ τῆς Ἀσίας οἰκίαν τετραγώνοις ὠροφωμένην δοκοῖς, ἠρώτησε τὸν κεκτημένον, εἰ τετράγωνα παρ' αὐτοῖς φύεται ξύλα· φαμένου δὲ οὔ, ἀλλὰ στρογγύλα, Τί οὖν, εἶπεν, εἰ τετράγωνα ἦν, στρογγύλα ἐτελεῖτε;—Τοῖς δὲ αὐτοῦ φίλοις παρήγγειλε, Μὴ χρήμασιν, ἀνδρείᾳ δὲ καὶ ἀρετῇ σπουδάζειν πλουτεῖν. — Ὁπότε δὲ βούλοιτο ἔργον τι ταχέως ὑπὸ τῶν στρατιωτῶν γενέσθαι, αὐτὸς πρῶτος ἐφήπτετο ἐν ὄψει ἁπάντων.— Ἐμεγαλύνετο δὲ ἐπὶ τῷ μηδενὸς ἧττον πονεῖν, καὶ ἐπὶ τῷ ἄρχειν ἑαυτοῦ μᾶλλον ἢ ἐπὶ τῷ βασιλεύειν.— Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον, ἐκέλευε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν, μεταπεμψάμενον, τὸ κάλλιστον τῶν μαθημάτων παιδευθησομένους, ἄρχειν τε καὶ ἄρχεσθαι.—Ἐρωτηθεὶς δέ ποτε, ὁποτέρα βελτίων τῶν ἀρετῶν, ἀνδρεία ἢ δικαιοσύνη, Οὐδὲν ὄφελος ἀνδρείας ἔφασκεν εἶναι, μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας προσδεήσεσθαι.—Εἰθισμένων δὲ τῶν τὴν Ἀσίαν κα-

(*) Στοβ. κτλ.

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

τοικούντων τῶν Περσῶν βασιλέα μέγαν προσαγορεύειν, τί δὲ ἐκεῖνος ἐμοῦ μείζων, εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος;— Ἐρωτηθεὶς δὲ, πῶς ἂν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη, Εἰ λέγοι, εἶπε, τὰ ἄριστα, πράττοι δὲ τὰ κάλλιστα. —Ἐπιζητοῦντος δέ τινος, τίνα δεῖ μανθάνειν τοὺς παῖδας; Ταῦτ', εἶπεν, οἷς καὶ ἄνδρες γενόμενοι χρήσονται.—Φιλοτεκνότατος δ' ὢν διαφερόντως, λέγεται, ὅτι, μικροῖς τοῖς παιδίοις, κάλαμον περιβεβληκὼς ὥσπερ ἵππον, οἴκοι συνέπαιζεν· ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράζειν, πρὶν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

### Φαβρίκιος.

Γάϊος Φαβρίκιος, ἐλθὼν πρὸς Πύῤῥον περὶ λύσεως αἰχμαλώτων, χρυσίον μὲν πολὺ διδόντος, οὐκ ἔλαβε, τῇ δ' ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα τοῦ Πύῤῥου παρακελεύσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥήξαντα φωνὴν ἐπιφανῆναι, καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ Φαβρίκιος, καὶ μειδιάσας, Ἐμὲ, εἶπεν, οὔτε τὸ χρυσίον ἐχθὲς, οὔτε σήμερον τὸ θηρίον ἐξέπληξεν.— Ὑπατεύοντι δὲ τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρὸς, ἐπαγγελλόμενος, ἐὰν κελεύῃ, φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν. Ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν, αἰσθέσθαι κελεύσας, διότι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων· ἐπεὶ δὲ φωράσας τὴν ἐπιβουλὴν ὁ Πύῤῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ Φαβρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκεν, οὐκ ἐδέξατο δωρεὰν, ἀλλ' ἴσους ἀντέδωκε, μὴ δόξῃ λαμβάνειν μισθόν· οὐδὲ γὰρ χάριτι Πύῤῥου μεμηνυκέναι τὴν ἐπιβουλὴν, ἀλλ' ὅπως μὴ δοκῶσι Ῥωμαῖοι δόλῳ κτείνειν ὡς φανερῶς νικᾷν οὐ δυνάμενοι.

### Κάτων.

Κάτων ὁ πρεσβύτερος, ἐν τῷ δήμῳ, τῆς ἀσωτίας καὶ πολυτελείας καθαπτόμενος, εἶπεν, Ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν. Θαυμάζειν δὲ πῶς σώζεται πόλις, ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς ἢ βοῦς.— Ἔφη δὲ βούλεσθαι μᾶλλον εὐεργετήσας μὴ κομίσασθαι χάριν, ἢ μὴ ὑποσχεῖν κόλασιν ἀδικήσας, καὶ πᾶσιν ἀεὶ τοῖς ἁμαρτάνουσι χωρὶς ἑαυτοῦ δοῦναι συγγνώμην.— Παρορμῶν δὲ τοὺς ἄρχοντας ἐπιτιμᾷν τοῖς ἁμαρτάνουσιν, ἔλεγε, Τοὺς δυναμέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νους κωλύειν τοὺς κακῶς ποιοῦντας, ἐὰν μὴ κωλύωσι, κατακελεύειν.— Τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον ἢ τοῖς ὠχριῶσι.— Κάκιστον δὲ ἔλεγεν ἄρχοντα εἶναι, τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.— Τὸν δὲ ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.— Τοὺς δὲ σπουδάζοντας ἐν τοῖς γελοίοις ἔλεγεν ἐν τοῖς σπουδαίοις ἔσεσθαι καταγελάστους.— Τὸν δὲ τοὺς παραλίους ἀγροὺς πεπρακότα, προσεποιεῖτο θαυμάζειν ὡς ἰσχυρότερον τῆς θαλάσσης· ἃ γὰρ ἐκείνη μόλις ἐπικλύζει, οὗτος ῥᾳδίως καταπέπωκεν.

---

# ΙΣΤΟΡΙΔΙΑ. (*)

## Θηραμένης.

Θηραμένης ὁ γενόμενος Ἀθήνησι τῶν τριάκοντα τυράννων, συμπεσούσης τῆς οἰκίας ἐν ᾗ μετὰ πλειόνων ἐδείπνει, μόνος σωθεὶς, καὶ πρὸς πάντων εὐδαιμονιζόμενος, ἀναφωνήσας μεγάλῃ τῇ φωνῇ, Ὦ τύχη, εἶπεν, εἰς τίνα με καιρὸν ἄρα φυλάττεις; Μετ' οὐ πολὺν δὲ χρόνον καταστρεβλωθεὶς ὑπὸ τῶν συντυράννων ἐτελεύτησε.

## Ξενοφῶν.

Ξενοφῶντι θύοντι ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ (τὸν) Γρύλλον τεθνάναι. Κἀκεῖνος ἀπέθεσε μὲν τὸν στέφανον, διετέλει δὲ θύων. Ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον. Ἔνιοι δὲ οὐδὲ δακρῦσαι φασὶν αὐτὸν, ἀλλὰ γὰρ εἰπεῖν, Ἤδειν θνητὸν γεγεννηκώς.

## Ἀλκιβιάδης.

Ὁρῶν Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ, καὶ μέγα φρονοῦντα ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν ἐπί τινα τόπον ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. Ὡς δὲ εὗρε, προσέταξε τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι. Τοῦ δὲ εἰπόντος, ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν. Ἐπὶ τούτοις, εἶπε μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσίν;

(*) Ἐκ τῶν τοῦ Αἰλιαν. Πολυαιν. Στοβ. Πλουτάρχ. κτλ.

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Γέρων Κεῖος.

Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ διὰ ταῦτα τὴν τρίχα, πολιὰν οὖσαν, ἐπειρᾶτο βαφῇ ἀφανίζειν. Παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. Ἀναστὰς οὖν ὁ Ἀρχίδαμος, ὁ τῶν Λακεδαιμονίων βασιλεύς, τί δ' ἄν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;

Λάκαινα.

Λάκαινά τις ἐκπέμψασα τοὺς υἱοὺς αὐτῆς πέντε ὄντας ἐπὶ πόλεμον, ἐν τοῖς προαστείοις εἱστήκει καραδοκοῦσα, τί ἐκ τῆς μάχης ἀποβήσοιτο. Ὡς δὲ παραγενόμενός τις πυθομένης ἀπήγγειλε τοὺς παῖδας ἅπαντας τελευτηκέναι, Ἀλλ' οὐ τοῦτο ἐπυθόμην, εἶπε, κακὸν ἀνδράποδον, ἀλλὰ τί πράσσει ἡ πατρίς. Φήσαντος δέ, ὅτι νικᾷ, ἀσμένη τοίνυν, εἶπε, δέχομαι καὶ τὸν τῶν παίδων θάνατον.

Ἡ Βρασίδου μήτηρ.

Ἡ Βρασίδου μήτηρ Ἀργιλεωνίς, ὡς ἀφικόμενοί τινες εἰς Λακεδαίμονα τῶν ἐξ Ἀμφιπόλεως εἰσῆλθον πρὸς αὐτήν, ἠρώτησεν, εἰ καλῶς ὁ Βρασίδας ἀπέθανε, καὶ τῆς Σπάρτης ἀξίως. Μεγαλυνόντων δ' ἐκείνων τὸν ἄνδρα, καὶ λεγόντων, ὡς οὐ ἔχει τοιοῦτον ἄλλον ἡ Σπάρτη, Μὴ λέγετε, εἶπεν, ὦ ξένοι· καλὸς μὲν γὰρ ἦν καὶ ἀγαθὸς ὁ Βρασίδας, πολλοὺς δ' ἄνδρας ἡ Λακεδαίμων ἔχει ἐκείνου κρείττονας.

Αἰσχύλος

Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. Ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφός, διακαλυψάμενος τὸ ἱμάτιον, ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. Ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. Ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ, καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

Οἱ γονεῖς τοῦ Παυσανίου.

Περσῶν τὴν Ἑλλάδα λεηλατούντων, Παυσανίας, ὁ τῶν Λακεδαιμονίων στρατηγός, ἀπὸ Ξέρξου πεντακόσια τάλαντα χρυσίου λαβών, ἔμελλε προδιδόναι τὴν Σπάρτην. Τῶν δὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἐπιστολῶν μεσολαβηθεισῶν, Ἀγησίλαος, ὁ πατὴρ τοῦ προειρημένου, περὶ τῶν συμβεβηκότων ἀκούσας, τὸν υἱὸν μέχρι τοῦ ναοῦ τῆς Χαλκιοίκου συνεδίωξεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθοις ἐμφράξας, μετὰ τῆς γυναικὸς τὴν εἴσοδον ἐφρούρησε, καὶ λιμῷ τὸν προδότην ἀνεῖλεν, ὃν ἡ μήτηρ ἀείρασα ὑπὲρ τοὺς ὅρους ἔρριψε.

### Γοργίας.

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου, καὶ γεγηρακὼς εὖ μάλα, ὑπό τινος ἀσθενείας καταληφθεὶς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. Ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος, καὶ ἤρετο τί πράττοι, ὁ Γοργίας ἔφη· Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.

### Ἀρτεμισία.

Ἀρτεμισία, βασιλεύουσα Καρίας, περὶ Σαλαμῖνα συνεναυμάχει τοῖς Πέρσαις, οὓς ἤδη φεύγοντας οἱ Ἕλληνες ἐδίωκον. Ἡ δὲ, καταλαμβανομένη, προσέταξε τοῖς μὲν ἐπιβάταις ἀφελεῖν τῆς νεὼς τὰ σημεῖα τὰ Περσικὰ, τῷ κυβερνήτῃ δὲ ἐμβαλεῖν εἰς τὴν ναῦν τὴν προπλέουσαν Περσικήν. Οἱ Ἕλληνες ταῦτα ὁρῶντες, οἰηθέντες μίαν εἶναι τῶν συμμαχίδων νεῶν, ἀπολιπόντες ταύτην, ἐπὶ τὰς ἄλλας ἐτράποντο. Ἀρτεμισία δὲ, τὸν κίνδυνον ἐπικείμενον ἐκφυγοῦσα, εἰς Καρίαν ἀποπλέουσα ᾤχετο.

### Πλάτων.

Πλάτων ὁ Ἀρίστωνος τὰ πρῶτα ἐπὶ ποιητικὴν ὥρμησε, καὶ ἡρωϊκὰ ἔγραφε μέτρα. Εἶτα αὐτὰ κατέπρησεν, ὑπεριδὼν αὐτῶν, ἐπεὶ τοῖς Ὁμήρου αὐτὰ ἀντικρίνων, ἑώρα κατὰ πολὺ ἡττώμενα. Ἐπέθετο οὖν τραγῳδίᾳ, καὶ δὴ καὶ τετραλογίαν εἰργάσατο, καὶ ἔμελλεν ἀγωνιεῖσθαι, δοὺς ἤδη τοῖς ὑποκριταῖς τὰ ποιήματα. Πρὸ τῶν Διονυσίων δὲ παρελθὼν, ἤκουσε Σωκράτους, καὶ ἅπαξ αἱρεθεὶς ὑπὸ τῆς ἐκείνου σειρῆνος, τοῦ ἀγωνίσματος οὐ μόνον ἀπέστη τότε, ἀλλὰ καὶ τελέως τὸ γράφειν τραγῳδίαν ἀπέρριψε, καὶ ἀπεδύσατο ἐπὶ φιλοσοφίᾳ.

### Λακεδαιμονίων μητέρες.

Αἱ Λακεδαιμονίων μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, αὗταί γε ἀφικόμεναι τὰ τραύματα αὐτῶν ἐπεσκόπουν, τά τε ἔμπροσθεν καὶ τὰ ὀ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

πισθεν, καὶ εἰ ἦν πλείω τὰ ἐναντία, αἶδε γαυρούμεναι, καὶ σεμνὸν ἅμα καὶ βλοσυρὸν ὁρῶσαι, τοὺς παῖδας εἰς τὰς πατρῴας ἔφερον ταφάς· εἰ δὲ ἑτέρως εἶχον τῶν τραυμάτων, ἐνταῦθα αἰδούμεναι καὶ θρηνοῦσαι, καί,ὡς ἔνι μάλιστα, λαθεῖν σπεύδουσαι, ἀπηλλάττοντο, καταλιποῦσαι τοὺς νεκροὺς ἐν τῷ πολυανδρίῳ θάψαι,ἢ λάθρα εἰς τὰ οἰκεῖα ἠρία ἐκόμιζον αὐτούς.

### Ἴβυκος.

Ἡ Ἱστορία Ἰβύκου τοῦ ποιητοῦ δείκνυσι Πρόνοιαν εἶναι. Φονευόμενος γὰρ οὗτος ὑπό τινων, καὶ μηδένα μήτε σύμμαχον μήτε μάρτυρα τῆς ἐπιβουλῆς ἔχων, θεωρήσας γεράνους, Ὑμεῖς, ἔφησεν,ὦ γέρανοι, τιμωρήσατέ μοι τὸν φόνον. Τῆς δὲ πόλεως ζητούσης τοὺς φονεύσαντας, καὶ μὴ δυναμένης εὑρεῖν,ἐπιτελουμένου θεάτρου, καὶ τοῦ δήμου καθεζομένου, γέρανοι διέπτησαν. Θεασάμενοι δὲ οἱ φονεῖς ἐγέλασαν, καί, Ἰδού, εἶπον, οἱ τιμωροὶ τοῦ Ἰβύκου. Τῶν δὲ πλησίον καθεζομένων τις ἀκούσας ἀπήγγειλε ταῖς ἀρχαῖς,καὶ συλληφθέντες ὡμολόγησαν τὸν φόνον.

### Πλάτωνος δόξα.

Ἡ Πλάτωνος δόξα καὶ ὁ τῆς κατ' αὐτὸν ἀρετῆς λόγος καὶ εἰς Ἀρκάδας ἀφίκετο καὶ Θηβαίους. Καὶ οὖν ἐδεήθησαν αὐτοῦ πρέσβεις ἀποστείλαντες, σὺν τῇ ἀνωτάτῃ σπουδῇ ἀφικέσθαι σφίσι τὸν ἄνδρα, οὐκ ἐπὶ μόνῃ τῇ τῶν νέων προστασίᾳ, οὐδ' ἵνα αὐτοῖς συγγένηται ἐπὶ τοῖς λόγοις τοῖς κατὰ φιλοσοφίαν, ἀλλὰ γὰρ καὶ τὸ ἔτι τούτων μεῖζον, νομοθέτην αὐτὸν ἐκάλουν. Οὔκουν ἔμελλον ἀτυχήσειν τοῦ ἀνδρός, καὶ γὰρ ἥσθη ὁ τοῦ Ἀρίστωνος τῇ κλήσει, καὶ δὴ καὶ ἔμελλεν ὑπακούσασθαι. Ἤρετο μέντοι τοὺς ἥκοντας, πῶς ἔχουσι πρὸς τὸ ἴσον ἔχειν ἅπαντας. Ἐπεὶ δ' ἔμαθε παρ' αὐτῶν ὅτι καὶ πάνυ ἀλλοτρίως, οὐδὲ πείσειν αὐτοὺς τιμᾷν τὴν ἰσονομίαν, ἀπείπατο τὴν πρὸς αὐτοὺς ἐπιδημίαν.

### Θεμιστοκλῆς.

Ἀθηναῖοι τὰ τείχη τοῦ ἄστεος ἤγειρον, Λάκωνες ἐφθόνουν. Ἠπάτησεν αὐτοὺς ὁ Θεμιστοκλῆς. Ὁ δὲ τρόπος τῆς ἀπάτης ἦν οὗτος. Ἀφίκετο εἰς Λακεδαίμονα πρεσβευτής, καὶ ἦν πρὸς τοὺς Λάκωνας ἔξαρνος, ἦ μὴν οὐκ ἐγείρεσθαι τὸ τεῖχος. Εἰ δὲ ἀπιστεῖτε,ἔφη, τοὺς ἀρίστους ἐκπέμ-

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ψατε κατασκόπους, ἐμὲ κατέχοντες. Οἱ μὲν ἔπεμψαν, Θεμιστοκλῆς δὲ κρύφα πέμψας ἐνετείλατο Ἀθηναίοις κατέχειν τοὺς κατασκόπους, ἔςτ' ἂν ἐγείρωσι τὸ τεῖχος· ἐπειδὰν δ' ἐγείρωσι, μὴ πρότερον αὐτοὺς ἀποπέμπειν, εἰ μὴ πρόσθεν αὐτὸν ἀπολάβοιεν. Καὶ ταῦτα οὕτως ἐγένετο. Ἠγέρθη τὸ τεῖχος, καὶ ἐπανῆλθε Θεμιστοκλῆς· ἀπεδόθησαν οἱ κατάσκοποι, καὶ ἐτειχίσθησαν Ἀθῆναι, Λακεδαιμονίων ἀκόντων.

## Κλεάνθης.

Κλεάνθης διεβοήθη ἐπὶ φιλοπονίᾳ, ὥς γε πένης ὢν ἄγαν, ὥρμησε μισθοφορεῖν, καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. Φασὶ δὲ αὐτὸν καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς τοσοῦτον εὐέκτης ὢν διαζῇ· ἔπειτα ἀποφυγεῖν, τόν τε κηπουρὸν μάρτυρα παρασχόντα παρ' ὃν ἤντλει, καὶ τὴν ἀλφιτόπωλιν παρ' ᾗ τὰ ἄλφιτα ἔπεττεν. Ἀποδεξαμένους δὲ αὐτὸν τοὺς Ἀρεοπαγίτας, ψηφίσασθαι δέκα μνᾶς δοθῆναι, Ζήνωνα δὲ κωλῦσαι λαβεῖν. Φασὶ δὲ καὶ Ἀντίγονον αὐτοῦ πυθέσθαι ὄντα ἀκροατήν, διατί ἐντλεῖ; τὸν δ' εἰπεῖν, Ἀντλῶ γὰρ μόνον; τί δ' οὐχὶ σκάπτω; τί δ' οὐκ ἄρδω, καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα; Προκρίνων δὲ τὸν ἑαυτοῦ βίον τοῦ τῶν πλουσίων, ἔλεγεν, ἐν ᾧ σφαιρίζουσιν ἐκεῖνοι, τὴν σκληρὰν καὶ ἄκαρπον αὐτὸς ἐργάζεσθαι, σκάπτων.

## Σκύλακες τοῦ Λυκούργου.

Λυκοῦργος, ὁ τῶν Λακεδαιμονίων νομοθέτης, δύο σκύλακας τῶν αὐτῶν γονέων λαβών, οὐδὲν ὁμοίως ἀλλήλοις ἤγαγεν, ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμορον, τὸν δ' ἐξιχνεύειν καὶ θηρᾶν δυνατόν. Εἶτα ποτὲ τῶν Λακεδαιμονίων εἰς ταὐτὸ συνειλεγμένων, Μεγάλη τοι ῥοπὴ πρὸς ἀρετῆς κτῆσίν ἐστιν, ἄνδρες (ἔφησε) Λακεδαιμόνιοι, καὶ ἔθη καὶ παιδεῖαι καὶ διδασκαλίαι, καὶ βίων ἀγωγαί· καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά. Εἶτα προσαγαγὼν τοὺς δύο σκύλακας, διαφῆκε, καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγωὸν κατευθὺ τῶν σκυλάκων, καὶ ὁ μὲν ἐπὶ τὸν λαγωὸν ἤϊξεν, ὁ δ' ἐπὶ τὴν λοπάδα ὥρμησε. Τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων, τίποτ' αὐτῷ τοῦτο δύναται, καὶ τί βουλόμενος τοὺς σκύλακας ἀπεδείκνυεν; Οὗτοι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

γονέων, ἔφη, τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγωγῆς, ὁ μὲν λίχνος, ὁ δὲ θηρευτὴς ἀποβέβηκε.

### Μούκιος.

Τυῤῥηνοὶ Ῥωμαίοις ἐπολέμουν. Τυῤῥηνῶν βασιλεὺς ἦν Πορσίνας, Ῥωμαίων ἦρχε Ποπλικόλας, τρίτον ὑπατεύων. Μούκιος, Ῥωμαῖος ἀνὴρ, ἄριστος τὰ πολέμια, Πορσίναν βουλόμενος ἀνελεῖν, εἰς τὸ Τυῤῥηνικὸν στρατόπεδον ἦλθεν, ἐσθῆτα ἔχων Τυῤῥηνίδα, καὶ τῇ φωνῇ Τυῤῥηνίζων, καὶ δὴ παρελθὼν ἐπὶ τὸ βῆμα, τὸν βασιλέα τὸν Πορσίναν οὐκ εἰδὼς ὅς τις ἦν, ὃν ᾠήθη μάλιστα τῶν καθεζομένων ἐοικέναι βασιλεῖ, καὶ δὴ τοῦτον ἔκτεινε, σπασάμενος τὸ ξίφος. Συλληφθεὶς ὡμολόγησεν ὅς τις ἦν· Πορσίνας μὲν δὴ ἔθυεν ἐπὶ τῇ σωτηρίᾳ τοῖς θεοῖς, Μούκιος δὲ, τῆς ἐσχάρας πῦρ ἐχούσης, ὑπερέσχε τὴν χεῖρα τὴν δεξιὰν, καὶ τῆς χειρὸς καιομένης, εἱστήκει τῷ Πορσίνᾳ διαλεγόμενος φαιδρῷ καὶ ἀτρέπτῳ τῷ προσώπῳ. Ὡς δὲ Πορσίνας τὴν ἀρετὴν ὑπερεθαύμαζε, Μούκιος, Μηδαμῶς, ἔφη, θαυμάσῃς· τριακόσιοι Ῥωμαῖοι, τὴν αὐτὴν ἐμοὶ καρτερίαν ἔχοντες, ἐν τῷ στρατοπέδῳ σου πλανῶνται, παραφυλάσσοντες καιρὸν τῆς σῆς ἀναιρέσεως. Πορσίνας πιστεύσας τοῖς λεγομένοις, καὶ φοβηθεὶς, τὸν πόλεμον πρὸς Ῥωμαίους διελύσατο.

### Ἀριστομένης.

Ἀριστομένης, ὁ Μεσσηνίων ἡγεμὼν, τρὶς ἑκατομφόνια θύσας κατὰ Λακεδαιμονίων, ἰσχυροῖς ποτὲ τραύμασι περιπεσὼν, ἑάλω σὺν ἄλλοις πλείοσιν. Ἔδοξε τοῖς Λάκωσιν ἅπαντας κατακρημνίσαι εἰς τὸν Καιάδαν, τοὺς μὲν ἄλλους γυμνοὺς, τὸν δὲ Ἀριστομένην, διὰ τὴν δόξαν τῆς ἀρετῆς, ἐν τοῖς ὅπλοις. Οἱ μὲν δὲ ἄλλοι κατενεχθέντες παραχρῆμα ἐτελεύτησαν· τοῦ δὲ Ἀριστομένους ἡ ἀσπὶς, ἐφελκομένη τὸν ἀέρα, ἐλαφρῶς αὐτὸν ἐπὶ τὴν γῆν κατήνεγκεν. Ὁ δὲ εἰς τὸ ὕψος ἀναβλέπων οὐκ ἀνῆκε τῆς ἐλπίδος, ἀλλὰ τὸ σύμπαν ὄρος ἀνασκοπούμενος, κατανοήσας εἴσδυσιν στενωτάτην, καὶ δι' αὐτῆς ἀλώπεκας εἰσιούσας, ἀπὸ τῶν κειμένων νεκρῶν ὀστοῦν κλάσας, μιᾶς τῶν ἀλωπέκων λαβόμενος τῆς οὐρᾶς καὶ δακνόμενος ὑπ' αὐτῆς, συνεξεδύετο αὐτῇ τὰ στενόπορα τοῦ ὄρους, τῷ ὀστῷ παραιρῶν, καὶ παρακόπτων. Καὶ δὴ προελθὼν ἧκεν εἰς τοὺς Μεσσηνίους, προϊέναι μέλλοντας εἰς τὴν μά-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

χην, καὶ αὐτίκα ὁπλισάμενος, αὐτοῖς ἡγεῖτο τῆς φάλαγγος. Οἱ δὲ Λάκωνες, Ἀριστομένην ἰδόντες πάλιν ἐν τοῖς ὅπλοις, πάλιν ἀριστεύοντα, πάλιν διώκοντα, τὸν βεβλημένον κατὰ τῶν κρημνῶν, ἀφ' ὧν οὐδεὶς ἐσώθη πώποτε, πάντες ἐνέκλιναν εἰς φυγὴν, θνητῆς φύσεως μείζονα εἶναι τὸν ἄνδρα ἡγούμενοι.

Λυκοῦργος.

Φασὶ τῷ Λυκούργῳ πρὸς τὸ (νέον αὐτοῦ) πολίτευμα χαλεπῶς γενέσθαι τοὺς εὐπόρους, καὶ συστάντας ἐπ' αὐτὸν ἀθρόους καταβοᾷν, καὶ ἀγανακτεῖν· τέλος δὲ βαλλόμενος ὑπὸ πολλῶν, ἐξέπεσε τῆς ἀγορᾶς δρόμῳ· καὶ τοὺς μὲν ἄλλους ἔφθασεν εἰς ἱερὸν καταφυγών· εἷς δέ τις νεανίσκος, ἄλλως μὲν οὐκ ἀφυὴς, ὀξὺς δὲ καὶ θυμοειδὴς, Ἄλκανδρος, ἐπικείμενος καὶ διώκων, ἐπιστραφέντος αὐτοῦ τῇ βακτηρίᾳ πατάξας τὸν ὀφθαλμὸν ἐξέκοψεν. Ὁ μὲν οὖν Λυκοῦργος, οὐδὲν ἐνδοὺς πρὸς τὸ πάθος, ἀλλὰ στὰς ἐναντίος, ἔδειξε τοῖς πολίταις τὸ πρόσωπον ᾑμαγμένον, καὶ διεφθαρμένην τὴν ὄψιν· αἰδώς τε πολλὴ καὶ κατήφεια τοὺς ἰδόντας ἔσχεν, ὥστε παραδοῦναι τὸν Ἄλκανδρον αὐτῷ, καὶ προπέμψαι μέχρι τῆς οἰκίας συναγανακτοῦντας. Ὁ δὲ Λυκοῦργος ἐκείνους μὲν ἐπαινέσας ἀφῆκε, τὸν δ' Ἄλκανδρον εἰσαγαγὼν οἴκαδε, κακὸν μὲν οὐδὲν οὔτ' ἐποίησεν, οὔτ' εἶπεν, ἀπαλλάξας δὲ τοὺς συνήθεις ὑπηρέτας καὶ θεραπευτῆρας, ἐκεῖνον ἐκέλευσεν ὑπηρετεῖν. Ὁ δ', οὐκ ὢν ἀγενὴς, ἐποίει τὸ προστασσόμενον σιωπῇ, καὶ παραμένων ἅμα τῷ Λυκούργῳ καὶ συνδιαιτώμενος, ἐν τῷ κατανοεῖν τὴν πρᾳότητα καὶ τὸ πάθος αὐτοῦ τῆς ψυχῆς, καὶ τὸ περὶ τὴν δίαιταν αὐστηρὸν, καὶ τὸ πρὸς τοὺς πόνους ἄκαμπτον, αὐτός τε δεινῶς διετέθη πρὸς τὸν ἄνδρα, καὶ πρὸς τοὺς συνήθεις καὶ φίλους ἔλεγεν, ὡς οὐ σκληρὸς οὐδὲ αὐθάδης ὁ Λυκοῦργος, ἀλλὰ μόνος ἐκεῖνος ἥμερος καὶ πρᾷός ἐστι τοῖς ἄλλοις. Οὕτω μὲν οὖν οὗτος ἐκεκόλαστο, καὶ τοιαύτην ὑπεσχήκει δίκην, ἐκ πονηροῦ νέου καὶ αὐθάδους ἐμμελέστατος ἀνὴρ καὶ σωφρονικώτατος γενόμενος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

# ΛΟΥΚΙΑΝΟΥ

## ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ·

### Διογένους καὶ Πολυδεύκους.

Διογ. Ὦ Πολύδευκες, ἐντέλλομαί σοι, ἐπειδὰν τάχιστα ἀνέλθῃς (σὸν γάρ ἐστιν, οἶμαι, τὸ ἀναβιῶναι αὔριον) ἤν που ἴδῃς Μένιππον τὸν Κύνα, (εὕροις δ' ἂν αὐτὸν ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον, ἢ ἐν Λυκείῳ, τῶν εριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα) εἰπεῖν πρὸς αὐτὸν, ὅτι σοι, ὦ Μένιππε, κελεύει ὁ Διογένης, εἴ σοι ἱκανῶς τὰ ὑπὲρ γῆς καταγεγέλασται, ἥκειν ἐνθάδε πολλῷ πλείω ἐπιγελασόμενον· ἐκεῖ μὲν γὰρ ἐν ἀμφιβόλῳ σοι ὁ γέλως ἦν, καὶ πολὺ τὸ, " Τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον; " ἐνταῦθα δὲ οὐ παύσῃ βεβαίως γελῶν, καθάπερ ἐγὼ νῦν, καὶ μάλιστα ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους καὶ σατράπας, καὶ τυράννους, οὕτω ταπεινοὺς καὶ ἀσήμους, ἐκ μόνης οἰμωγῆς διαγινωσκομένους, καὶ ὅτι μαλθακοὶ καὶ ἀγεννεῖς εἰσι μεμνημένοι τῶν ἄνω. Ταῦτα λέγε αὐτῷ, καὶ προσέτι ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τε πολλῶν, καὶ εἴπου εὕροι ἐν τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον, ἢ ὠὸν ἐκ καθαρσίου, ἤ τι τοιοῦτο.

Πολ. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες, ὅπως δὲ εἰδῶ μάλιστα ὁποῖός τίς ἐστι τὴν ὄψιν;

Διογ. Γέρων, φαλακρὸς, τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον· γελᾷ δ' ἀεὶ, καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει.

Πολ. Ῥᾴδιον εὑρεῖν ἀπόγε τούτων.

Διογ. Βούλει καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς φιλοσόφους;

Πολ. Λέγε, οὐ βαρὺ γὰρ οὐδὲ τοῦτο.

Διογ. Τὸ μὲν ὅλον, παύσασθαι αὐτοῖς παρεγγύα ληροῦσι, καὶ περὶ τῶν ὅλων ἐρίζουσι, καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ κροκοδείλους ποιοῦσι, καὶ τοιαῦτα ἄπορα ἐρωτᾷν διδάσκουσι τὸν νοῦν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Πολ. Ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φήσουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν.

Διογ. Σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε.

Πολ. Καὶ ταῦτα, ὦ Διόγενες, ἀπαγγελῶ.

Διογ. Τοῖς πλουσίοις δὲ, ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελε ταῦτα παρ' ἡμῶν. Τί, ὦ μάταιοι, τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ἑαυτοὺς, λογιζόμενοι τοὺς τόκους, καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας ἥκειν μετ' ὀλίγον;.

Πολ. Εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους.

Διογ. Ἀλλὰ καὶ τοῖς καλοῖς γε καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ, καὶ Δαμοξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη, οὔτε τὰ χαροπὰ ἢ μέλανα ὄμματα, ἢ ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι ἐστὶν, ἢ νεῦρα εὔτονα, ἢ ὦμοι καρτεροὶ, ἀλλὰ πάντα μία ἡμῖν κόνις, φασὶ, κρανία γυμνὰ τοῦ κάλλους.

Πολ. Οὐ χαλεπὸν οὐδὲ ταῦτα εἰπεῖν πρὸς τοὺς καλοὺς καὶ ἰσχυρούς.

Διογ. Καὶ τοῖς πένησιν, ὦ Λάκων, (πολλοὶ δ' εἰσὶ, καὶ ἀχθόμενοι τῷ πράγματι, καὶ οἰκτείροντες τὴν ἀπορίαν) λέγε μήτε δακρύειν, μήτ' οἰμώζειν, διηγησάμενος τὴν ἐνταῦθα ἰσοτιμίαν, καὶ ὅτι ὄψονται τοὺς ἐκεῖ πλουσίους οὐδὲν ἀμείνους αὐτῶν. Καὶ Λακεδαιμονίοις δὲ τοῖς σοῖς, ταῦτα, εἰ δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον, λέγων ἐκλελύσθαι αὐτούς.

Πολ. Μηδὲν, ὦ Διόγενες, περὶ Λακεδαιμονίων λέγε, οὐ γὰρ ἀνέξομαί γε, ἃ δὲ πρὸς τοὺς ἄλλους ἔφησθα, ἀπαγγελῶ.

Διογ. Ἐάσωμεν τούτους, ἐπεί σοι δοκεῖ. Σὺ δὲ, οἷς προεῖπον, ἀπένεγκε παρ' ἐμοῦ τοὺς λόγους.

## Πλούτων ἢ κατὰ Μενίππου.

Κροῖσ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα, ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον.

Πλ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν;

Κρ. Ἐπειδὰν ἡμεῖς οἰμώζομεν, καὶ στένομεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν, ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγὰς, καὶ ὅλως λυπηρός ἐστι.

Πλ. Τί ταῦτα φασὶν ὦ Μένιππε;

Μεν. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς ἀγενεῖς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, καὶ περιέχονται τῶν ἄνω. Χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς.

Πλ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι.

Μεν. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς;

Πλ. Οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς.

Μεν. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε, ὡς οὐδὲ παυσομένου μου· ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν καὶ κατᾴδων καὶ καταγελῶν.

Κρ. Ταῦτα οὐχ ὕβρις;

Μεν. Οὐκ· ἀλλ' ἐκεῖνα ὕβρις ἦν ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες. Τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι.

Κρ. Πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων!

Μεν. Ὅσου μὲν ἐγὼ χρυσοῦ!

Σαρ. Ὅσης δ' ἐγὼ τρυφῆς!

Μέν. Εὖγε! οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ τὸ Γνῶθι σαυτὸν πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν· πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

## Ἑρμοῦ καὶ Χάρωνος.

Ἑρ Λογισώμεθα ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμεν περὶ αὐτῶν.

Χαρ. Λογισώμεθα, ὦ Ἑρμῆ· ἄμεινον γὰρ ὁρίσαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον.

Ἑρ. Ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν.

Χαρ. Πολλοῦ λέγεις.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Ἑρ. Νὴ τὸν Ἀϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύω ὀβολῶν.

Χάρ. Τίθει πέντε δραχμὰς, καὶ ὀβολοὺς δύο.

Ἑρ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

Χαρ. Καὶ τούτους προστίθει.

Ἑρ. Καὶ κηρὸν, ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἥλους δὲ, καὶ καλώδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα.

Χρ. Εὖγε! ἄξια ταῦτα ὠνήσω.

Ἑρ. Ταῦτά ἐστιν, εἰ μήτι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. Πότε δ' οὖν ταῦτ' ἀποδώσειν φής;

Χάρ. Νῦν μὲν, ὦ Ἑρμῆ, ἀδύνατον· ἢν δὲ λοιμός τις, ἢ πόλεμος καταμπέμψῃ ἀθρόους τινὰς, ἐνέσται τότε ἀποκερδάναι ἐν τῷ πλήθει παραλογιζόμενον τὰ πορθμία.

Ἑρ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολάβοιμι;

Χάρ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. Νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ.

Ἑρ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα. Πλὴν, ἀλλ' οἱ μὲν παλαιοὶ, ὦ Χάρων, οἶσθα οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ, καὶ τραυματίαι οἱ πολλοί. Νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τῆς τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα καὶ τὰ σκέλη· ὠχροὶ γὰρ ἅπαντες καὶ ἀγενεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις. Οἱ δὲ πλεῖστοι αὐτῶν διὰ χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις ὡς ἐοίκασι

Χάρ. Πάνυ γὰρ περιπόθητά ἐστι ταῦτα.

Ἑρ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν, πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

Πλούτωνος καὶ Ἑρμοῦ.

Πλ. Τὸν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσὶν, οἱ τὸν κλῆρον δὲ θηρῶντες πεντακισμύριοι;

Ἑρ. Ναὶ, τὸν Σικυώνιον φής· τί οὖν;

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Πλ. Ἐκεῖνον μὲν, ὦ Ἑρμῆ, ζῆν ἔασον ἐπὶ τοῖς ἐννενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἴ γε οἷόν τε ἦν, καὶ ἔτι πλείω. Τοὺς δέ γε κόλακας αὐτοῦ, Χαρῖνον τὸν νέον, καὶ Δάμωνα καὶ τοὺς ἄλλους, κατάσπασον ἐφεξῆς ἅπαντας.

Ερ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον.

Πλ. Οὐμενοῦν, ἀλλὰ δικαιότατον. Τί γὰρ ἐκεῖνοι παθόντες, εὔχονται ἀποθανεῖν ἐκεῖνον; ἢ τῶν χρημάτων ἀντιποιοῦνται οὐδὲν προσήκοντες; Ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι καὶ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ, καὶ νοσοῦντος, ἃ μὲν βουλεύονται, πᾶσι πρόδηλα, θύσειν δ' ὅμως ὑπισχνοῦνται, ἢν ῥαΐσῃ. Καὶ ὅλως ποικίλη τις κολακεία, τῶν ἀνδρῶν. Διὰ ταῦτα ὁ μὲν ἔστω ἀθάνατος, οἱ δὲ προαπίτωσιν αὐτοῦ μάτην ἐπιχανόντες.

Ερ. Γελοῖα πείσονται, πανοῦργοι ὄντες· πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐπελπίζει, καὶ ὅλως, ἀεὶ θανόντι ἐοικώς, ἔρρωται πολὺ μᾶλλον τῶν νέων. Οἱ δέ, ἤδη τὸν κλῆρον ἐν σφίσι διηρημένοι βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες.

Πλ. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας, ὥσπερ Ἰόλεως, ἀνηβησάτω. Οἱ δ' ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροποληθέντα πλοῦτον ἀπολιπόντες, ἡκέτωσαν ἤδη, κακοὶ κακῶς ἀποθανόντες.

Ερ. Ἀμέλησον, ὦ Πλούτων· μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς· ἑπτὰ δέ, οἶμαι, εἰσί.

Πλ. Κατάσπα· ὁ δὲ παραπέμψει ἕκαστον, ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

## Χάρωνος, Μενίππου, καὶ Ἑρμοῦ.

Χάρ. Ἀπόδος ὦ κατάρατε τὰ πορθμία.

Μέν. Βόα, εἰ τοῦτό σοι ἥδιον, ὦ Χάρων.

Χάρ. Ἀπόδος, φημί, ἀνθ' ὧν σε διεπορθμευσάμην.

Μέν. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.

Χάρ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων;

Μέν. Εἰ μὲν καὶ ἄλλος τις οὐκ οἶδα· ἐγὼ δὲ οὐκ ἔχω.

Χάρ. Καὶ μὴν ἄγξω σε, νὴ τὸν Πλούτωνα, ὦ μιαρέ, ἢν μὴ ἀποδῷς.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Μέν. Κἀγὼ τῷ ξύλῳ σου πατάξας διαλύσω τὸ κρανίον.

Χ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν;

Μ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι.

Ἑρ. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν.

Χ. Οὐκ ἀποστήσομαί σου.

Μ. Τούτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παράμενε. Πλὴν, ἀλλ' ὅ,γε μὴ ἔχω πῶς ἂν λάβοις;

Χ. Σὺ δ' οὐκ ᾔδεις ὡς κομίζειν δέον;

Μ. Ἤιδειν μὲν, οὐκ εἶχον δέ. Τί οὖν; ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν;

Χ. Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι;

Μ. Οὐ προῖκα ὦ βέλτιστε, καὶ γὰρ ἤντλησα, καὶ τῆς κώπης ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν.

Χ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμία· τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ· οὐ γὰρ θέμις ἄλλως γενέσθαι.

Μ. Οὐκοῦν ἀπάγαγέ με αὖθις εἰς τὸν βίον.

Χ. Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω.

Μ. Μὴ ἐνόχλει οὖν.

Χ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις;

Μ. Θέρμους εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον.

Χ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες; Οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων.

Ἑρ. Ἀγνοεῖς, ὦ Χάρων, ὁποῖον ἄνδρα διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει· οὗτός ἐστιν ὁ Μένιππος.

Χ. Καὶ μὴν ἄν σε λάβω ποτέ.

Μ. Ἂν λάβῃς, ὦ βέλτιστε, δὶς δὲ οὐκ ἂν λάβοις.

## Νιρέως, Θερσίτου, καὶ Μενίππου.

Ν. Ἰδοὺ δὴ Μένιππος οὑτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν. Εἰπὲ, ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ;

Μ. Τίνες δὲ καὶ ἐστέ; πρότερον γὰρ, οἶμαι, χρὴ τοῦτο εἰδέναι.

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Ν. Νιρεὺς,καὶ Θερσίτης.

Μ. Πότερος οὖν ὁ Νιρεὺς,καὶ πότερος ὁ Θερσίτης; οὐδέ πω γὰρ τοῦτο δῆλον.

Θ. Ἓν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπήνεσεν, ἁπάντων εὐμορφότατον προσειπών· ἀλλ' ὁ φοξὸς ἐγὼ καὶ ψεδνὸς,οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. Ὅρα δὲ σὺ, ὦ Μένιππε, εἰπεῖν ὅν τινα καὶ εὐμορφότερον ἡγῇ.

Ν. Ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χάροπος, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

Μ. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες, ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον ταύτῃ μόνον ἄρα διακρίνοιτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν· ἀλαπαδνὸν γὰρ αὐτὸ καὶ οὐκ ἀνδρῶδες ἔχεις.

Ν. Καὶ μὴν, ἔρου Ὅμηρον, ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς.

Μ. Ὀνείρατά μοι λέγεις· ἐγὼ δὲ βλέπω, ἃ καὶ νῦν ἔχεις· ἐκεῖνα δὲ οἱ τότε ἴσασι.

Ν. Οὐκοῦν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε;

Μ. Οὔτε σὺ, οὔτε ἄλλος εὔμορφος· ἰσοτιμία γὰρ ἐν ᾅδου, καὶ ὅμοιοι ἅπαντες.

Θ. Ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

## Ζηνοφάντου καὶ Καλλιδημίδου.

Ζην. Σὺ δὲ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ, ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν ἀπεπνίγην, οἶσθα· παρῆς γὰρ ἀποθνήσκοντί μοι.

Καλ. Παρῆν ὦ Ζηνόφαντες, τὸ δὲ ἐμὸν, παράδοξόν τι ἐγένετο· οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα.

Ζην. Τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα;

Καλ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενον ἐπ' ἐμοὶ τεθνήξεσθαι. Ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ Γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον· πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν, πίνει δ' ἐπιεικῶς, ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ· εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν.

Ζην. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας.

Καλ. Ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ, τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοὶ, σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν· εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην, ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. Τί τοῦτο; γελᾷς, ὦ Ζηνόφαντες; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν.

Ζην. Ἀστεῖα γὰρ ὦ Καλλιδημίδη πέπονθας· ὁ γέρων δὲ τί πρὸς ταῦτα;

Καλ. Πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον, εἶτα συνεὶς οἶμαι τὸ γεγενημένον, ἐγέλα καὶ αὐτὸς, οἷά γε ὁ οἰνοχόος εἴργασται.

Ζην. Πλὴν ἀλλ' οὐδὲ σὲ τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι· ἧκε γὰρ ἄν σοι διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερος ἦν.

### Κνήμωνος καὶ Δαμνίππου.

Κνήμ. Τοῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, ὁ νεβρὸς τὸν λέοντα.

Δάμ. Τί ἀγανακτεῖς ὦ Κνήμων;

Κνήμ. Πυνθάνῃ ὅ, τι ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ παραλιπών.

Δάμ. Πῶς τοῦτ' ἐγένετο;

Κνήμ. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα ἐθεράπευον ἐπὶ θανάτῳ· κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. Ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι θέσθαι διαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε, καὶ τὰ αὐτὰ πράξειε.

Δάμ. Τί οὖν δὴ ἐκεῖνος;

Κνημ. Ὅ, τι μὲν οὖν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις, οὐκ οἶδα· ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος, καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ, ὥσπερ τις λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας.

Δάμ. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα, ὥστε σό-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

φισμα κατὰ σαυτοῦ συντέθεικας.

Κνήμ. Ἔοικα· οἰμώζω τοιγαροῦν.

Μενίππου καὶ Ταντάλου.

Μέν. Τί κλάεις ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ ἐπὶ τῇ λίμνῃ ἑστώς;

Τάντ. Ὅτι, ὦ Μένιππε, ἀπόλωλα ὑπὸ τοῦ δίψους.

Μέν. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν, ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί;

Τάντ. Οὐδὲν ὄφελος, εἰ ἐπικύψαιμι· φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με· ἢν δέ ποτε καὶ ἀρύσωμαι, καὶ προσενέγκω τῷ στόματι, οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαρρυὲν, οὐκ οἶδ' ὅπως, αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μου.

Μέν. Τεράστιόν τι πάσχεις, ὦ Τάνταλε, ἀτὰρ εἰπέ μοι· τί γὰρ καὶ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις, ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ πεινῆν, καὶ διψῆν ἠδύνατο· σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ διψώης, ἢ πίνοις;

Τάντ. Τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν μου τὴν ψυχὴν, ὡς σῶμα οὖσαν.

Μέν. Ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσομεν, ἐπεὶ φῂς τῷ δίψει κολάζεσθαι· τί δ' οὖν τὸ δεινὸν ἔσται, ἢ δέδιας, μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς; οὐχ ὁρῶ γὰρ ἄλλον μετὰ τοῦτον Ἅιδην, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον.

Τάντ. Ὀρθῶς μὲν λέγεις, καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν μηδὲν δεόμενον.

Μέν. Ληρεῖς ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου, νὴ Δία, ὅςτις τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας, οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος.

Τάν. Οὐ δὲ τὸν ἐλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον.

Μέν. Θάῤῥει ὦ Τάνταλε, ὡς οὔτε σὺ, οὔτε ἄλλος πίεται τῶν νεκρῶν· ἀδύνατον γάρ· καί τοι πάντες, ὥσπερ σὺ ἐκ καταδίκης διψῶσι, τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

## Κράτητος καὶ Διογένους.

Κρα. Μοίριχον τὸν πλούσιον ἐγίνωσκες, ὦ Διόγενες, τὸν πάνυ πλούσιον, τὸν ἐκ Κορίνθου, τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα; οὗ ἀνεψιὸς Ἀριστέας, πλούσιος καὶ αὐτὸς ὤν, τὸ Ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν· Ἤ μ' ἀνάειρ', ἢ ἐγὼ σέ.

Διο. Τίνος ἕνεκα, ὦ Κράτης, ἐθεράπευον ἀλλήλους;

Κρα. Τοῦ κλήρου ἕνεκα ἑκάτερος ἡλικιῶται ὄντες, καὶ τὰς διαθήκας εἰς τὸ φανερὸν ἐτίθεντο, Ἀριστέαν μὲν ὁ Μοίριχος, εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων, Μοίριχον δὲ ὁ Ἀριστέας, εἰ προαπέλθοι αὐτοῦ. Ταῦτα μὲν ἐγέγραπτο, οἱ δὲ ἐθεράπευον ἀλλήλους ὑπερβαλλόμενοι τῇ κολακείᾳ· καὶ οἱ μάντεις, εἴτε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον, εἴτε ἀπὸ τῶν ὀνειράτων, ὥς γε Χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ Πύθιος αὐτὸς, ἄρτι μὲν Ἀριστεῖ παρεῖχε τὸ κράτος, ἄρτι δὲ Μοιρίχῳ· καὶ τὰ τάλαντα ποτὲ μὲν ἐπὶ τοῦτον, νῦν δ' ἐπ' ἐκεῖνον ἔῤῥεπε.

Διο. Τί οὖν πέρας ἐγένετο, ὦ Κράτης; ἀκοῦσαι γὰρ ἄξιον.

Κρα. Ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας· οἱ δὲ κλῆροι, ἐς Εὐνόμιον καὶ Θασυκλέα περιῆλθον, ἄμφω συγγενεῖς ὄντας, οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα. Διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος εἰς Κίῤῥαν, κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ Ἰάπυγι, ἀνετράπησαν.

Διο. Εὖ ἐποίησαν. Ἡμεῖς δὲ ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτον ἐνενοοῦμεν περὶ ἀλλήλων· οὔτε πώποτε ηὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ (εἶχε δὲ πάνυ καρτερὰν ἐκ κοτίνου ποιησάμενος), οὔτε οἶμαι, σὺ, ὦ Κράτης, ἐπεθύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα, καὶ τὸν πίθον, καὶ τὴν πήραν χοίνικας δύο θέρμων ἔχουσαν.

Κρα. Οὐδὲν γάρ μοι τούτων ἔδει· ἀλλ' οὐδὲ σοὶ, ὦ Διόγενες· ἃ γὰρ ἐχρῆν, σύ τε Ἀτισθένους ἐκληρονόμησας, καὶ ἐγὼ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς.

Διο. Τίνα ταῦτα φής;

Κρα. Σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παῤῥησίαν, ἐλευθερίαν.

Διο. Νὴ Δία, μέμνημαι τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρ' Ἀντισθένους, καὶ σοὶ ἔτι πλείω καταλιπών.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιακή Αρχειοθέτηση: Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Κρα. Ἀλλ' οἱ ἄλλοι ἠμέλουν τῶν τοιούτων κτημάτων, καὶ οὐδεὶς ἐθεράπευεν ἡμᾶς, κληρονομήσειν προσδοκῶν· εἰς δὲ τὸ χρυσίον πάντες ἔβλεπον.

Διο. Εἰκότως· οὐ γὰρ εἶχον ἔνθα δέξαιντο τὰ τοιοῦτα παρ' ἡμῶν, διεῤῥυηκότες ὑπὸ τρυφῆς καθάπερ τὰ σαθρὰ τῶν βαλαντίων· ὥστε, εἴποτε καὶ ἐμβάλλοι τις ἐς αὐτοὺς ἢ σοφίαν, ἢ παῤῥησίαν, ἢ ἀλήθειαν, ἐξέπιπτεν εὐθὺς, καὶ διέῤῥει, τοῦ πυθμένος στέγειν οὐ δυναμένου· οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι, εἰς τὸν τετρυπημένον πίθον ἐπαντλοῦσαι· τὸ δὲ χρυσίον ὀδοῦσι, καὶ ὄνυξι, καὶ πάσῃ μηχανῇ ἐφύλαττον.

Κρα. Οὐκοῦν ἡμεῖς μὲν ἕξομεν κἀνταῦθα τὸν πλοῦτον· οἱ δὲ ὀβολὸν ἥξουσι κομίζοντες, καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.

## Τερψίωνος καὶ Πλούτωνος.

Τερψ. Τοῦτο, ὦ Πλούτων, δίκαιον, ἐμὲ μὲν τεθνάναι τριάκοντα ἔτη γεγονότα, τὸν δὲ ὑπὲρ τὰ ἐννενήκοντα γέροντα Θούκριτον ζῆν ἔτι;

Πλού. Δικαιότατον μὲν οὖν, ὦ Τερψίων, εἴγε ὁ μὲν ζῇ μηδένα εὐχόμενος ἀποθανεῖν τῶν φίλων· σὺ δὲ παρὰ πάντα τὸν χρόνον ἐπεβούλευες αὐτῷ, περιμένων τὸν κλῆρον.

Τερ. Οὐ γὰρ ἐχρῆν γέροντα ὄντα, καὶ μηκέτι χρήσασθαι τῷ πλούτῳ αὐτὸν δυνάμενον, ἀπελθεῖν τοῦ βίου, παραχωρήσαντα τοῖς νέοις;

Πλού. Καινὰ, ὦ Τερψίων, νομοθετεῖς, τὸν μηκέτι τῷ πλούτῳ χρήσασθαι δυνάμενον πρὸς ἡδονὴν ἀποθνήσκειν· τὸ δὲ ἄλλως ἡ Μοῖρα καὶ ἡ φύσις διέταξε.

Τερ. Οὐκοῦν ταύτην αἰτιῶμαι τῆς διατάξεως. Ἐχρῆν γὰρ τὸ πρᾶγμα ἑξῆς πῶς γίνεσθαι, τὸν πρεσβύτερον πρότερον, καὶ μετὰ τοῦτον, ὅστις καὶ τῇ ἡλικίᾳ μετ' αὐτόν· ἀναστρέφεσθαι δὲ μηδαμῶς, μηδὲ ζῆν μὲν τὸν ὑπέργηρων, ὀδόντας τρεῖς ἔτι λοιποὺς ἔχοντα, μόγις ὁρῶντα, οἰκέταις τέτρασιν ἐπικεκυφότα, κορύζης μὲν τὴν ῥῖνα, λήμης δὲ τοὺς ὀφθαλμοὺς μεστὸν ὄντα, οὐδὲν ἔτι ἡδὺ εἰδότα, ἔμψυχόν τινα τάφον, ὑπὸ τῶν νέων καταγελώμενον, ἀποθνήσκειν δὲ καλλίστους, καὶ ἐῤῥωμενεστάτους νεανίσκους· ἄνω γὰρ ποταμῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τοῦτό γε. Ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν, πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν ἐνίους ἐθεράπευον. Νῦν δὲ τὸ τῆς παροιμίας· Ἡ ἅμαξα τὸν βοῦν πολλάκις ἐκφέρει.

Πλ. Ταῦτα μὲν, ὦ Τερψίων, πολὺ συνετώτερα γίνεται, ἤπερ σοὶ δοκεῖ. Καὶ ὑμεῖς δὲ τί παθόντες ἀλλοτρίοις ἐπιχαίνετε, καὶ τοῖς ἀτέκνοις τῶν γερόντων εἰσποιεῖτε φέροντες αὐτούς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε, πρὸς ἐκείνων κατορυττόμενοι, καὶ τὸ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίνεται. Ὅσῳ γὰρ ὑμεῖς ἐκείνους ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἡδὺ προαποθανεῖν ὑμᾶς αὐτῶν. Καινὴν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε, γραῶν καὶ γερόντων ἐρῶντες, καὶ μάλιστα, εἰ ἄτεκνοι εἶεν· οἱ δὲ ἔντεκνοι ὑμῖν ἀνέραστοι. Καίτοι πολλοὶ ἤδη τῶν ἐρωμένων συνιέντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος, ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται, ὡς καὶ αὐτοὶ ἐραστὰς ἔχωσιν. Εἶτα ἐν ταῖς διαθήκαις ἀπεκλείσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες, ὁ δὲ παῖς, καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων, οἱ δὲ ὑποπρίουσι τοὺς ὀδόντας ἀποσμυγέντες.

Τερ. Ἀληθῆ ταῦτα φής. Ἐμοῦ γοῦν Θούκριτος πόσα κατέφαγεν, ἀεὶ τεθνήξεσθαι δοκῶν, καὶ ὁπότε ἐσίοιμι, ὑποστένων, καὶ μύχιόν τι, καθάπερ ἐξ ᾠοῦ νεοττὸς ἀτελής, ὑποκρώζων, ὥστ' ἔγωγε, ὅσον αὐτίκα οἰόμενος ἐπιβήσειν αὐτὸν τῆς σοροῦ, ἔπεμπόν τε πολλὰ, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντερασταὶ τῇ μεγαλοδωρεᾷ· καὶ τὰ πολλὰ ὑπὸ φροντίδων ἄγρυπνος ἐκείμην, ἀριθμῶν ἕκαστα, καὶ διατάττων. Ταῦτα γοῦν μοι καὶ τοῦ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία, καὶ φροντίδες· ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν, ἐφειστήκει θαπτομένῳ πρώην.

Πλ. Εὖγε, ὦ Θούκριτε, ζώῃς ἐπιμήκιστον, πλουτῶν ἅμα, καὶ τῶν τοιούτων καταγελῶν· μηδὲ πρότερόν γε σὺ ἀποθάνοις, ἢ προπέμψεις πάντας τοὺς κόλακας.

Τερ. Τοῦτο μὲν, ὦ Πλούτων, καὶ ἐμοὶ ἥδιστον ἤδη, εἰ καὶ Χαριάδης προτεθνήξεται Θουκρίτου.

Πλ. Θάῤῥει, ὦ Τερψίων. Καὶ Φείδων γὰρ, καὶ Μέλαντος, καὶ ὅλως ἅπαντες προελεύσονται αὐτοῦ ὑπὸ ταῖς αὐταῖς φροντίσιν.

Τερ. Ἐπαινῶ ταῦτα. Ζώῃς ἐπιμήκιστον, ὦ Θούκριτε!



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

# ΙΣΟΚΡΑΤΟΥΣ

## ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΠΑΡΑΙΝΕΣΙΣ.

[ἀποσπάσματα.]

δ'. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεοὺς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μὲν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγείαν συμφέροντα· τούτου δ' ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. Ἃ ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. Ἔθιζε σαυτὸν εἶναι μὴ σκυθρωπὸν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. Μηδέ ποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σαυτῷ γε συνειδήσεις. Τοὺς μὲν θεοὺς φοβοῦ· τοὺς δὲ γονεῖς τίμα· τοὺς δὲ φίλους αἰσχύνου· τοῖς δὲ νόμοις πείθου. Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον. Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. Ἅπαντα δόκει ποιεῖν, ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμώης. Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ καὶ πολυμαθής. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις· ὁμοίως γὰρ αἰσχρὸν, ἀ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

κούσαντα χρήσιμον λόγον μὴ μανθάνειν καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. Καταναλίσκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνον τῶν κτημάτων ἀθάνατον. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾷν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνειαν. Τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης· ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς, δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ, ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους· Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ τῶν ἀποῤῥήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσιν. Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μεγάλων κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεῶν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. Βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν, μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. Τοῦτο δὲ ποιήσεις, ἄν, μὴ δεόμενός του, δεῖσθαι προσποιῇ, περί τε τῶν ῥητῶν ὡς ἀποῤῥήτων ἀνακοινοῖ· μὴ τυχὼν μὲν γάρ, οὐδὲν βλαβήσῃ, τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν· οὕτω δ' ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος αὐτοῖς ἐν τοῖς καιροῖς βοηθῇς. Ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι δὲ φιλοκάλου μὲν τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν· ἔστι δὲ χρήματα μὲν, τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ, τοῖς κτᾶσθαι δυναμένοις. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκα, τοῦ τε ζημίαν μεγάλην ἐκτίσαι δύνασθαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον, μηδὲν ὑπερ-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

βαλλόντως, ἀλλὰ μετρίως αὐτὴν ἀγάπα. Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. Μηδενὶ συμφορὰν ὀνειδίσης· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. Τοὺς κακοὺς δ' εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας, ὑλακτοῦσιν, οἵτε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικὸς, ἀλλὰ μὴ σεμνός· τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν, τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. Ὁμιλητικὸς δ' ἔσῃ, μὴ δύσερις ὢν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντα φιλόνεικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς ταχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· (τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν)· μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοὶ, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος ὢν, βαρὺ γάρ· μὴ δὲ φιλεπιτιμητὴς παροξυντικὸν γάρ. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἂν δὲ ποτέ σοι συμπέσῃ καιρὸς, ἐξανίστασο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, διαμαρτόντα τῶν εὐθυνούντων· ἥτε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι· θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ, οὓς τοῖς λόγοις ἐλύπησαν, τούτοις τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. Οὓς ἂν βούλῃ ποιήσασθαι φί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Νεοχωραλλάρειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλοῦντας· ἀρχὴ μὲν γὰρ φιλίας, ἔπαινος, ἔχθρας δὲ ψόγος. Βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν. Περὶ ὧν ἂν αἰσχύνῃ παῤῥησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις. Ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον, πῶς τὰ ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέ ποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀῤῥωστίας ἀναμνησθῶμεν. Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν· ὥς τε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέν τοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει θαυμάζειν. Εἰς ἀρχὴν καταστάθεὶς, μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου, μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστατο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δύνασθαι, ἀνέχου δὲ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν πα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ρασκευάζει· κἀκείνων μὲν καὶ τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. Πειρῶ τὸ μὲν σῶμα εἶναι φιλόπονος, τὴν δὲ ψυχὴν φιλόσοφος· ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾷν ἐπίστῃ τὰ συμφέροντα. Πᾶν ὅ,τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος. Δύο ποιοῦ καιροὺς τοῦ λέγειν· ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾷν, ἢ λέγειν. Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν· γίγνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατάδηλος· ἄτοπον γὰρ, τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν. Μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου τελευτὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν. Μάλιστα μὲν πειρῶ ζῆν κατὰ τὴν ἀσφάλειαν· ἐὰν δὲ ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης· τὸ μὲν γὰρ τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε, τὸ δὲ καλῶς ἀποθανεῖν ἴδιον τοῖς σπουδαίοις ἡ φύσις ἀπένειμεν.

Ἐνθυμοῦ δὲ, ὅτι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν· (εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν) τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας· πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας· εἰκότως. Ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἦπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους, οὐ φαύλους εἶναι φήσομεν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

# ΕΠΙΚΤΗΤΟΥ

## ΕΓΧΕΙΡΙΔΙΟΝ.

[ἀποσπάσματα.]

γ΄. Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείαν παρασχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν, ὁποῖόν τι ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρχόμενος· ἂν χύτραν στέργῃς, ὅτι χύτραν στέργεις· κατεαγείσης γὰρ αὐτῆς, οὐ ταραχθήσῃ· ἂν παιδίον σαυτοῦ καταφιλῇς ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς· ἀποθανόντος γὰρ αὐτοῦ οὐ ταραχθήσῃ.

δ΄. Ὅταν ἅψασθαί τινος ἔργου μέλλῃς, ὑπόμνησον σεαυτὸν, ὁποῖόν ἐστι τὸ ἔργον· ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ· τοὺς ἀποῤῥαίνοντας, τοὺς ἐγκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας· καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου, ἐὰν ἐπιλέγῃς, ὅτι εὐθὺς λούσασθαι θέλω, καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου· οὕτω γὰρ, ἄν τι πρὸς τὸ λούσασθαι γένηται ἐμποδὼν, πρόχειρον ἔσται, ὅτι οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· οὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

ε΄. Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα· οἷον, ὁ θάνατος οὐδὲν δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο, ἀλλὰ τὸ δόγμα τὸ περὶ θανάτου, ὅτι δεινὸν, ἐκεῖνο τὸ δεινόν ἐστιν. Ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταραττώμεθα, ἢ λυπώμεθα, μηδέποτε ἄλλους αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς τοῦτ' ἔστι τὰ ἑαυτῶν δόγματα. Ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠργμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, τῷ μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ.

στ΄. Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι· εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν, ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν· σὺ δ' ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ. Τί οὖν ἐστι σόν; Χρῆσις φαντασιῶν· ὥσθ' ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπαρθήσῃ· τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ζ'. Καθάπερ ἐν πλῷ, τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον, καὶ κοχλίδιον ἀναλέξῃ καὶ βολβάριον· τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήποτε ὁ κυβερνήτης καλέσῃ· κἂν καλέσῃ, πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς, ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται, ἀντὶ βολβαρίου καὶ κοχλιδίου, γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα ἅπαντα, μηδὲ ἐπιστρεφόμενος· ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτε τοῦ πλοίου μακράν, μήποτε καλούμενος ἐλλίπῃς.

ή. Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις· ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται, καὶ εὐροήσεις.

θ'. Νόσος, σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. Χώλανσις, σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ· καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σὸν δὲ οὔ.

ί. Ἐφ' ἑκάστου τῶν προσπιπτόντων, μέμνησο, ἐπιστρέφων ἐπὶ σεαυτὸν, ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. Ἐὰν καλὸν ἴδῃς, ἢ καλὴν, εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν· ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν· ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. Καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι.

ιά. Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι, Ἀπώλεσα αὐτὸ, ἀλλὰ, ὅτι, Ἀπέδωκα. Τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη· ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη· Τὸ χωρίον ἀφῃρέθη; οὐκοῦν καὶ τοῦτο ἀπεδόθη; Ἀλλὰ κακὸς ὁ ἀφελόμενος· τί δέ σοι μέλει διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες.

ιβ'. Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους ἐπιλογισμούς. Ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. Κρεῖσσον γὰρ, λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον· κρεῖσσον δὲ καὶ τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα. Ἄρξαι τοιγαροῦν ἀπὸ τῶν σμικρῶν. Ἐκχεῖται τὸ ἐλάδιον; κλέπτεται τὸ οἰνάριον; ἐπίλεγε, ὅτι, Τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν περιγίνεται. Ὅταν δὲ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύναται μὴ ὑπακοῦσαι, ἢ καὶ ὑπακούσας, μηδὲν ποιῆσαι ὧν θέλεις· ἀλλ' οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐπ' ἐκείνῳ ᾖ, τὸ σὲ μὴ ταραχθῆναι.

ιγ'. Εἰ προκόψαι θέλεις, ὑπόμεινον, ἕνεκα τῶν ἐκτὸς, ἄνους δόξαι, καὶ ἠλίθιος· καὶ μηδὲν βούλου δοκεῖν ἐπίστασθαι. Κἂν δόξῃς τις εἶναί τισιν, ἀπίστει σεαυτῷ. Ἴσθι γὰρ, ὅτι οὐ ῥάδιον, καὶ τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι, καὶ τὰ ἐκτός· ἀλλὰ τὸν ἑτέρου ἐπιμελούμενον, τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη.

ιδ'. Ἐὰν θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους σου πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπὶ σοὶ, θέλεις ἐπὶ σοὶ εἶναι· καὶ τὰ ἀλλότρια, σὰ εἶναι. Οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ τὴν κακίαν, μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι. Ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. Τοῦτο οὖν ἄσκει, ὃ δύνασαι. Κύριος ἑκάστου ἐστὶν, ὁ τῶν ὑπ' ἐκείνου θελομένων, ἢ μὴ θελομένων, ἔχων τὴν ἐξουσίαν εἰς τὸ περιποιῆσαι, ἢ ἀφελέσθαι. Ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις· Εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη.

ιε'. Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ σε δεῖ ἀναστρέφεσθαι. Περιφερόμενον γέγονέ τι κατὰ σέ; ἐκτείνας τὴν χεῖρα, κοσμίως μετάλαβε. Παρέρχεται; μὴ κάτεχε. Οὔπω ἥκει; μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε, μέχρις ἂν γένηται κατὰ σέ. Οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχὰς, οὕτω πρὸς πλοῦτον· καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. Ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλὰ καὶ ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. Οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν, καὶ ἐλέγοντο.

ιζ'. Μέμνησο, ὅτι ὑποκριτὴς εἶ δράματος, οἵου ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχὺ, βραχέος· ἂν μακρὸν, μακροῦ· ἂν πτωχὸν ὑποκρίνασθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ· ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. Σὸν γὰρ τοῦτ' ἔστι, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτὸ, ἄλλου.

ιη'. Ἀνίκητος εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα κα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Βιβλιοθήκη Ναυπάκτου

τκβαίνης, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι. Ὅρα μή ποτε ἰδών τινα προτιμώμενον, ἢ μέγα δυνάμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς, ὑπὸ τῆς φαντασίας συναρπασθείς. Ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε φθόνος, οὔτε ζηλοτυπία χώραν ἔχει· σύ τε αὐτὸς οὐ στρατηγός, οὐ πρύτανις, ἢ ὕπατος εἶναι θελήσεις, ἀλλ' ἐλεύθερος. Μία δὲ ὁδὸς πρὸς τοῦτο, καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν.

κ'. Μέμνησο, ὅτι οὐχ ὁ λοιδορῶν ἢ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων, ὡς ὑβριζόντων. Ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέθικε. Τοιγαροῦν ἐν πρώτοις πειρῶ, ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι· ἂν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

κά. Θάνατος, καὶ φυγή, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος· καὶ οὐδὲν οὐδέποτε οὔτε ταπεινὸν ἐνθυμήθησῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

κβ'. Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν, ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων, ὅτι, Ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε· καί, Πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; Σὺ δὲ ὀφρὺν μὲν μὴ σχῇς· τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ Θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν· μέμνησό τε, διότι ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου πρότερον, οὗτοί σε ὕστερον θαυμάσονται· ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

κδ'. Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν, Ἄτιμος ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. Εἰ γὰρ ἡ ἀτιμία ἐστὶ κακόν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. Μή τι οὖν σόν ἐστιν ἔργον, τὸ ἀρχῆς τυχεῖν, ἢ παραληφθῆναι ἐφ' ἑστίασιν; οὐδαμῶς. Πῶς οὖν ἔτι τοῦτ' ἔστιν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοί, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ; Ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι ἔσονται· τί λέγεις τὸ Ἀβοήθητοι; οὐχ ἕξουσι παρὰ σοῦ κερμάτιον; οὐδὲ πολίτας Ῥωμαίων αὐτοὺς ποιήσεις; τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστίν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ μὴ ἔχει αὐτός; Κτῆσαι οὖν, φησίν, ἵνα καὶ ἡμεῖς ἔχωμεν. Εἰ δύνα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μαι κτήσασθαι, τηρῶν ἐμαυτὸν αἰδήμονα, καὶ πιστὸν, καὶ μεγαλόφρονα, δείκνυε τὴν ὁδὸν, καὶ κτήσομαι· Εἰ δ' ἐμὲ ἀξιοῦται τἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι, ἵν' ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε ὑμεῖς, πῶς ἄνισοί ἐστε καὶ ἀγνώμονες. Τί δὲ καὶ βούλεσθε μᾶλλον; ἀργύριον, ἢ φίλον πιστὸν καὶ αἰδήμονα; Εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε, καὶ μὴ δι' ὧν ἀποβαλῶ αὐτὰ, ταῦτά με πράσσειν ἀξιοῦτε. Ἀλλ' ἡ πατρὶς, φησὶν, ὅσον ἐπ' ἐμοὶ, ἀβοήθητος ἔσται. Πάλιν, ποίαν καὶ ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διὰ σὲ, οὔτε βαλανεῖα. Καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν χαλκέα, οὐδ' ὅπλα διὰ τὸν σκυτέα· ἱκανὸν δὲ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. Εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφέλεις; Ναί. Οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ. Τίνα οὖν ἕξω, φησὶ, χώραν ἐν τῇ πόλει; Ἣν ἂν δύνῃ φυλάττων, ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. Εἰ δὲ ἐκείνην ὠφελεῖν βουλόμενος, ἀποβαλεῖς ταῦτα, τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;

κε'. Προετιμήθη σου τὶς ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακὰ, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες· μέμνησο δὲ, ὅτι οὐ δύνασαι, μὴ ταὐτὰ ποιῶν πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι. Πῶς γὰρ ἴσον ἔχειν δύναται ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς, τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ παραπέμποντι; ὁ μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι; Ἄδικος οὖν ἔσῃ, καὶ ἄπληστος, εἰ, μὴ προϊέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν. Ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ, ἂν οὕτω τύχῃ. Ἂν οὖν τις προϊέμενος τὸν ὀβολὸν, λάβῃ θρίδακας, σὺ δὲ μὴ προϊέμενος, μὴ λάβῃς, μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος. Ὡς γὰρ ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα. Οὐ παρεκλήθης ἐφ' ἑστίασίν τινος; οὐ γὰρ ἔδωκας τῷ καλοῦντι, ὅσου πωλεῖ τὸ δεῖπνον· ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπείας πωλεῖ. Δὸς οὖν τὸ διάφορον, εἴ σοι λυσιτελεῖ, ὅσου πωλεῖται. Εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ ἀβέλτερος. Οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν, τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες· τὸ μὴ ἀνασχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.

κστ'. Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστιν, ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. Οἷον, ὅταν ἄλλου παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρόν εὐθὺς λέγειν, ὅτι, Τῶν γινομένων ἐστίν. Ἴσθι οὖν, ὅτι, ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τὸ τοῦ ἄλλου κατεάγη. Οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα· τέκνον ἄλλου τέθνηκεν, ἡ γυνή; οὐδείς ἐστιν ὃς οὐκ ἂν εἴποι, ὅτι Ἀνθρώπινον. Ἀλλ', ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθὺς, Οἴμοι! τάλας ἐγώ! Ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν, περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

κζ'. Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται.

κή. Εἰ μὲν τὸ σῶμά σου ἐπέτρεπέ τις τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν· ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα, ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ τούτου ἕνεκα;

κθ'. Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ' αὐτό. Εἰ δὲ μὴ, τὴν μὲν πρώτην προθύμως ἥξεις, ἅτε μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δὲ, ἀναφανέντων δυσχερῶν τινῶν, ἀποστήσῃ. Θέλεις Ὀλύμπια νικῆσαι; Κἀγὼ, νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν. Ἀλλὰ σκόπει καὶ τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα· καὶ οὕτως ἅπτου τοῦ ἔργου. Δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ. Εἶτα ἐν τῷ ἀγῶνι, παρορύσσεσθαι, ἔστι δὲ ὅτε χεῖρα ἐκβαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἀφὴν καταπιεῖν· ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ τούτων πάντων νικηθῆναι. Ταῦτα ἐπισκεψάμενος, ἂν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. Εἰ δὲ μὴ, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ αὐλητὰς, νῦν δὲ μονομάχους, εἶτα σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σὺ, νῦν μὲν ἀθλητὴς, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

χῇ οὐδέν· ἀλλ', ὡς πίθηκος, πᾶσαν θέαν, ἣν ἂν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. Οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας· ἀλλ' εἰκῇ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. Οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος, ὡς Εὐφράτης λέγει (καί τοι τίς οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος;) θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν. Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. Πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφὺν κατάμαθε· ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε. Δοκεῖς, ὅτι ταῦτα ποιῶν, ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως δυσαρεστεῖν; ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί. Ταῦτα ἐπίσκεψαι, εἰ καὶ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν· εἰ δὲ μή, μὴ πρόσαγε· μὴ ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος Καίσαρος. Ταῦτα οὐ συμφωνεῖ. Ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθὸν ἢ κακὸν εἶναι· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω· τουτέστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

λ΄. Τὰ καθήκοντα, ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. Πατήρ ἐστιν· ὑπαγορεύεται ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. Ἀλλὰ πατὴρ κακός ἐστι. Μήτι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης; ἀλλὰ πρὸς πατέρα. Ὁ ἀδελφὸς ἀδικεῖ. Τήρει τοιγαροῦν τὴν τάξιν τὴν σεαυτοῦ πρὸς αὐτόν, μηδὲ σκόπει τί ἐκεῖνος ποιεῖ, ἀλλὰ, τί σοι ποιήσαντι, κατὰ φύσιν ἡ σὴ ἕξει προαίρεσις. Σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς· τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. Οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις, ἐὰν τὰς σχέσεις ἐθίζῃ θεωρεῖν.

λγ΄. Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ, καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὤν, καὶ ἀνθρώποις ἐντυγχάνων.

Καὶ σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι' ὀλίγων. Σπανίως δέ ποτε καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

γειν, λέξον μέν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων· μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων, τῶν ἑκασταχοῦ· μάλιστα δὲ μὴ περὶ ἀνθρώπων, ψέγων, ἢ ἐπαινῶν, ἢ συγκρίνων. Ἂν μὲν οὖν οἷός τε ᾖς, μέταγε τοῖς σοῖς λόγοις καὶ τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον. Εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς τύχοις, σιώπα.

Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος.

Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰσάπαν. Εἰ δὲ μή, ἐκ τῶν ἐνόντων.

Ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς, διακρούου· ἐὰν δέ ποτε γίνηται καιρὸς, ἐντετάσθω σοι ἡ προσοχὴ, μήποτε ἄρα ὑποῤῥοῆς εἰς ἰδιωτισμόν. Ἴσθι γὰρ, ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συνανατριβόμενον αὐτῷ συμμολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

Τὰ περὶ τὸ σῶμα μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε· οἷον τροφὰς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν. Τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε.

Ἐάν τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου, διότι, Ἠγνόει γὰρ τὰ ἄλλα προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

Εἰς τὰ θέατρα τὸ πολὺ παριέναι, οὐκ ἀναγκαῖον. Εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τοῦτ' ἔστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾷν μόνον τὸν νικῶντα. Οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. Βοῆς δὲ, καὶ τοῦ ἐπιγελᾷν τινι, ἢ ἐπὶ πολὺ συγκινεῖσθαι, παντελῶς ἀπέχου. Καὶ μετὰ τὸ ἀπαλλαγῆναι μὴ πολλὰ περὶ τῶν γεγενημένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν. Ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου, ὅτι ἐθαύμασες τὴν θέαν.

Εἰς ἀκροάσεις τινῶν μὴ εἰκῇ μηδὲ ῥᾳδίως πάριθι. Παριὼν δὲ, τὸ σεμνὸν καὶ τὸ εὐσταθὲς, καὶ ἅμα ἀνεπαχθὲς φύλασσε.

Ὅταν τινὶ μέλλῃς συμβαλεῖν, μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων· καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

Ὅταν φοιτᾷς πρός τινα τῶν μέγα δυναμένων, πρόβαλε, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀποκλεισθήσῃ, ὅτι ἐντι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. Κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, ἐλθὼν φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς σεαυτὸν, ὅτι, Οὐκ ἦν τοσούτου· ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένου πρὸς τὰ ἐκτός.

Ἐν ταῖς ὁμιλίαις ἀπέστω τὸ ἑαυτοῦ τινῶν ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι· οὐ γὰρ, ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοὶ συμβεβηκότων ἀκούειν. Ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν· ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρός σε τῶν πλησίον ἀνιέναι. Ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. Ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ προελθόντι· εἰ δὲ μὴ, τῷ γε ἀποσιωπῆσαι, καὶ ἐρυθριᾶσαι, καὶ σκυθρωπάσαι δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

λδ΄. Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, καθάπερ ἐπὶ τῶν ἄλλων φύλασσε σαυτὸν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς· ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε· ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὃν τε ἀπολαύσεις τῆς ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ. Καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν. Ἐὰν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μὴ ἡττήσῃ σε τὸ προσηνὲς αὐτοῦ καὶ ἡδὺ καὶ ἐπαγωγόν· ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι σεαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

λε΄. Ὅταν τι, διαγνοὺς ὅτι ποιητέον ἐστὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοῖόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτοῦ ὑπολαμβάνειν. Εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ τὸ ἔργον φεῦγε. Εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς;

λστ΄. Ὡς τὸ, Ἡμέρα ἐστὶ, Νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ συμπεπλεγμένον ἀπαξίαν, οὕτω καὶ τὴν μείζονα μερίδα ἐκλέξασθαι πρὸς μὲν τὸ σῶμα μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ τὸ κοινωνικὸν ἐν ἑστιάσει, ὃ δεῖ φυλάξαι, ἀπαξίαν ἔχει· ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο, οὐ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾷν, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα, οἵαν δεῖ, φυλάξαι.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λζ'. Ἐὰν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ, ὃ ἠδύνασο ἐκπληρῶσαι, παρέλιπες.

λή. Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα σου, οὕτω πρόσεχε, μὴ καὶ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. Καὶ τοῦτο ἐὰν ἐφ' ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἁψόμεθα τοῦ ἔργου.

λθ'. Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ πούς ὑποδήματος. Ἐὰν μὲν οὖν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον· ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη φέρεσθαι. Καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν. Τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον οὐθείς ἐστιν.

μ'. Αἱ γυναῖκες εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν Κυρίαι καλοῦνται. Τοιγαροῦν ὁρῶσαι, ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμῶνται τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. Προσέχειν οὖν ἄξιον, ἵνα αἴσθωνται, διότι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι καὶ αἰδήμονες.

μά. Ἀφυΐας σημεῖον, τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα· οἷον, ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν. Ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον· περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή.

μβ'. Ὅταν σέ τις κακῶς ποιῇ, ἢ κακῶς λέγῃ, μέμνησο, ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ, ἢ λέγει. Οὐχ οἷόν τε οὖν, ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. Ὥστε, εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται, ὅστις ἐξηπάτηται. Καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. Ἀπὸ τούτων οὖν ὁρμώμενος, πρᾴως ἕξεις πρὸς τὸν λοιδοροῦντα. Ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστῳ, ὅτι, Ἔδοξεν αὐτῷ.

μγ'. Πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον. Ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ· αὕτη γὰρ ἡ λαβή ἐστιν αὐτοῦ οὐ φορητή· ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφός, ὅτι σύντροφος, καὶ λήψῃ αὐτό, καθ' ὃ φορητόν.

μδ'. Οὗτοι οἱ λόγοι ἀσύνακτοι, Ἐγώ σου πλουσιώτερος



Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

εἰμι, ἐγώ σου ἄρα κρείσσων· ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείσσων. Ἐκεῖνοι δὲ μᾶλλον συνακτικοί, Ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων· ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων. Σὺ δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις.

μέ. Λούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι, Κακῶς· ἀλλ' ὅτι, Ταχέως. Πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς, ὅτι, Κακῶς, ἀλλ' ὅτι, Πολύν. Πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα, εἰ κακῶς; Οὕτως οὐ συμβήσεταί σοι, ἄλλων μὲν φαντασίας καταληπτικὰς λαμβάνειν, ἄλλοις δὲ συγκατατίθεσθαι.

μστ'. Μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· ἀλλὰ ποίει τὸ ἀπὸ τῶν θεωρημάτων· οἷον, ἐν συμποσίῳ μὴ λέγε, πῶς δεῖ ἐσθίειν, ἀλλ' ἔσθιε, ὡς δεῖ. Μέμνησο γάρ, ὅτι οὕτως ἀφῃρήκει πανταχόθεν Σωκράτης τὸ ἐπιδειτικόν, ὥστε ἤρχοντο πρὸς αὐτὸν βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτούς· οὕτως ἠνείχετο παρορώμενος. Κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ· μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι ὃ οὐκ ἔπεψας. Καὶ ὅταν εἴπῃ σοί τις, ὅτι οὐδὲν οἶσθα, καὶ σὺ μὴ δηχθῇς, τότε ἴσθι, ὅτι ἄρχῃ τοῦ ἔργου. Ἐπεὶ καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιδείκνύει πόσον ἔφαγεν, ἀλλά, τὴν νομὴν ἔσω πέψαντα, ἔρια ἔξω φέρει καὶ γάλα. Καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα·

μζ'. Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ· μηδ', ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε, ὅτι ὕδωρ πίνεις· κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλῃς, σεαυτῷ, καὶ μὴ τοῖς ἔξω· μηδὲ τοὺς ἀνδριάντας περιλάμβανε· ἀλλά, διψῶν ποτὲ σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

μή. Ἰδιώτου στάσις καὶ χαρακτήρ· οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. Φιλοσόφου στάσις καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ. Σημεῖα προκόπτοντος· οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λεγει, ὡς ὄντος τινὸς, ἢ εἰδότος τι. Ὅταν οὖν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. Κἄν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ· κἄν ψέγῃ, οὐκ ἀπολογεῖται. Περίεισι δὲ, καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων, πρὶν πῆξιν λαβεῖν. Ὄρεξιν ἅπασαν ἦρκεν ἐξ ἑαυτοῦ· τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν μετατέθεικεν· ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται· ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν. Ἑνί τε λόγῳ, ὡς ἐχθρὸς ἑαυτὸν παραφυλάσσει καὶ ἐπίβουλον.

μθ'. Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου βιβλία σεμνύνηται, λέγε αὐτὸς πρὸς ἑαυτὸν, ὅτι, Εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος, ἐφ' ᾧ σεμνυνεῖται. Ἐγὼ δὲ, τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. Ζητῶ οὖν τίς ἐστιν ὁ ἐξηγούμενος· καὶ ἀκούσας, ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν· ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα. Ζητῶ οὖν τὸν ἐξηγούμενον· καὶ μέχρι τούτων οὔπω σεμνὸν οὐδέν. Ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παρηγγελμένοις· τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. Ἂν δὲ αὐτὸ τοῦτο, τὸ ἐξηγεῖσθαι, θαυμάσω, τί ἄλλο ἢ γραμματικὸς ἀπετελέσθην ἀντὶ φιλοσόφου; πλήν γε δὴ, ὅτι ἀντὶ Ὁμήρου Χρύσιππον ἐξηγοῦμαι. Μᾶλλον οὖν, ὅταν τις εἴπῃ μοι, Ἐπανάγνωθί μοι Χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις.

ν'. Ὅσα προτίθεται, τούτοις, ὡς νόμοις, ἀσεβήσων, ἂν παραβῇς, ἔμμενε. Ὅ,τι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου· τοῦτο γὰρ οὐκ ἔτ' ἔστι σόν.

να'. **Εἰς** ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτὸν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν αἱροῦντα λόγον; Παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμβαλεῖν, καὶ συμβέβληκας. Ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇ τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; Οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. Ἂν νῦν ἀμελήσῃς καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ προθέσεις ἐκ προθέσεων ποιῇ, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃ, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων. Ἤδη

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παρασκευάζεται Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα· καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος. Κἂν ἐπίπονόν τι ἢ ἡδὺ, ἢ ἔνδοξον ἢ ἄδοξον, προσάγηται, μέμνησο, ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεστι τὰ Ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι οὐκέτι· καὶ ὅτι παρὰ μίαν ἡμέραν καὶ ἓν πρᾶγμα καὶ ἀπόλλυται προκοπὴ καὶ σώζεται. Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων τῶν προσαγομένων αὐτῷ, μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. Σὺ δὲ, εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὀφείλεις βιοῦν.

---

# ΣΤΡΑΒΩΝΟΣ

## ΓΕΩΓΡΑΦΙΚΩΝ ΤΑ ΠΕΡΙ ΤΗΣ ΙΩΝΙΑΣ.

(ΒΙΒΛ. ΙΔ. Κεφαλ. Α.)

1. Λοιπὸν δ' ἐστὶν εἰπεῖν περὶ Ἰώνων καὶ Καρῶν, καὶ τῆς ἔξω τοῦ Ταύρου παραλίας, ἣν ἔχουσι Λύκιοί τε καὶ Παμφύλιοι καὶ Κίλικες· οὕτω γὰρ ἂν ἔχοι τέλος ἡ πᾶσα τῆς χεῤῥονήσου περιήγησις, ἧς ἰσθμὸν ἔφαμεν τὴν ὑπέρβασιν τὴν ἐκ τῆς Ποντικῆς θαλάττης ἐπὶ τὴν Ἰσσικήν.

2. Ἔστι δὲ τῆς Ἰωνίας ὁ μὲν περίπλους, ὁ παρὰ γῆν, σταδίων που τρισχιλίων τετρακοσίων τριάκοντα, καὶ διὰ τοὺς κόλπους, καὶ διὰ τὸ χεῤῥονησίζειν ἐπὶ πλεῖον τὴν χώραν· τὸ δ' ἐπ' εὐθείας μῆκος οὐ πολύ. Αὐτὸ γοῦν τὸ ἐξ Ἐφέσου μέχρι Σμύρνης, ὁδὸς μέν ἐστιν ἐπ' εὐθείας τριακόσιοι εἴκοσι στάδιοι· εἰς γὰρ Μητρόπολιν ἑκατὸν καὶ εἴκοσι στάδιοι, οἱ λοιποὶ δὲ εἰς Σμύρναν· περίπλους δὲ μικρὸν ἀπολείπων τῶν δισχιλίων καὶ διακοσίων. Ἔστι δ' οὖν ἀπὸ τοῦ Ποσειδίου τῶν Μιλησίων, καὶ τῶν Καρικῶν ὅρων μέχρι Φωκαίας καὶ τοῦ Ἕρμου τὸ πέρας τῆς Ἰωνικῆς παραλίας.

3. Ταύτης δέ φησι Φερεκύδης Μίλητον μὲν, καὶ Μυοῦντα, καὶ τὰ περὶ Μυκάλην καὶ Ἔφεσον, Κᾶρας ἔχειν πρότερον· τὴν δ' ἑξῆς παραλίαν μέχρι Φωκαίας, καὶ Χίου, καὶ Σάμου, ἧς Ἀγκαῖος ἦρχε, Λέλεγας· Ἐκβληθῆναι δ' ἀμφοτέρους ὑπὸ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τῶν Ἰώνων, καὶ εἰς τὰ λοιπὰ μέρη τῆς Καρίας ἐκπεσεῖν. Ἄρξαι δέ φησιν Ἄνδροκλον τῆς τῶν Ἰώνων ἀποικίας, ὕστερον τῆς Αἰολικῆς, υἱὸν γνήσιον Κόδρου τοῦ βασιλέως Ἀθηνῶν· γενέσθαι δὲ τοῦτον Ἐφέσου κτίστην· διόπερ τὸ βασίλειον τῶν Ἰώνων ἐκεῖ συστῆναι φασι· καὶ ἔτι νῦν οἱ ἐκ τοῦ γένους ὀνομάζονται βασιλεῖς, ἔχοντές τινας τιμάς, προεδρίαν τε ἐν ἀγῶσι, καὶ πορφύραν ἐπίσημον τοῦ βασιλικοῦ γένους, σκίπωνα (δ') ἀντὶ σκήπτρου, καὶ τὰ ἱερὰ τῆς Ἐλευσινίας Δήμητρος. Καὶ Μίλητον δ' ἔκτισε Νηλεὺς ἐκ Πύλου τὸ γένος ὤν· οἵ τε Μεσσήνιοι, καὶ οἱ Πύλιοι συγγένειάν τινα προσποιοῦνται, καθ' ἣν καὶ Μεσσήνιον τὸν Νέστορα οἱ νεώτεροί φασι ποιηταί, καὶ τοῖς περὶ Μέλανθον τὸν Κόδρου πατέρα πολλοὺς καὶ τῶν Πυλίων συνεξάραί φασιν εἰς τὰς Ἀθήνας· τοῦτον δὴ πάντα τὸν λαὸν μετὰ τῶν Ἰώνων κοινῇ στεῖλαι τὴν ἀποικίαν· τοῦ δὲ Νηλέως ἐπὶ τῷ Ποσειδίῳ βωμὸς ἵδρυμα δείκνυται. Κυδρῆλος δὲ νόθος υἱὸς Κόδρου Μυοῦντα κτίζει. Ἀνδρόπομπος δὲ Λέβεδον, καταλαβόμενος τόπον τινὰ Ἄρτιν. Κολοφῶνα δ' Ἀνδραίμων Πύλιος, ὥς φησι καὶ Μίμνερμος ἐν Ναννοῖ. Πριήνην δ' Αἴπυτος ὁ Νηλέως, εἶθ' ὕστερον Φιλώτας ἐκ Θηβῶν λαὸν ἀγαγών. Τέω δὲ Ἀθάμας μὲν πρότερον, διόπερ Ἀθαμαντίδα καλεῖ αὐτὴν Ἀνακρέων· κατὰ δὲ τὴν Ἰωνικὴν ἀποικίαν, Ναῦκλος υἱὸς Κόδρου νόθος, καὶ μετὰ τοῦτον Ἄποικος καὶ Δάμασος Ἀθηναῖοι, καὶ Γέρης ἐκ Βοιωτῶν. Ἐρύθρας δέ, Κνῶπος· καὶ οὗτος υἱὸς Κόδρου νόθος. Φωκαίαν δ' οἱ μετὰ Φιλογένους Ἀθηναῖοι. Κλαζομενὰς δὲ Πάραλος. Χίον δὲ Ἐγέρτιος, σύμμικτον ἐπαγόμενος πλῆθος. Σάμον δὲ Τεμβρίων, εἶθ' ὕστερον Προκλῆς.

Αὗται μὲν δώδεκα Ἰωνικαὶ πόλεις· προσελήφθη δὲ χρόνοις ὕστερον καὶ Σμύρνα εἰς τὸ Ἰωνικόν, ἐναγαγόντων Ἐφεσίων· ἦσαν γὰρ αὐτοῖς σύνοικοι τὸ παλαιόν, ἡνίκα καὶ Σμύρνα ἐκαλεῖτο ἡ Ἔφεσος· καὶ Καλλῖνός που οὕτως ὠνόμασεν αὐτήν, Σμυρναίους τοὺς Ἐφεσίους καλῶν ἐν τῷ πρὸς Δία λόγῳ·

Σμυρναίους δ' ἐλέησον·

καὶ πάλιν·

Μνῆσαι δ' εἴ ποτέ τοι μηρία καλὰ βοῶν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Σμύρνα δ' ἦν Ἀμαζών, ἡ κατασχοῦσα τὴν Ἔφεσον· ἀφ' ἧς τοὔνομα καὶ τοῖς ἀνθρώποις, καὶ τῇ πόλει, ὡς καὶ ἀπὸ Σισύρβης, Σισυρβῖταί τινες τῶν Ἐφεσίων ἐλέγοντο καὶ τόπος δέ τις τῆς Ἐφέσου Σμύρνα ἐκαλεῖτο, ὡς δηλοῖ Ἱππῶναξ.

Ὤικει δ' ὄπισθε τῆς πόληος, ἐν Σμύρνῃ
Μεταξὺ Τρηχείης τε καὶ Λεπρῆς ἀκτῆς.

Ἐκαλεῖτο γὰρ Λεπρὴ μὲν ἀκτὴ ὁ Πρηών, ὁ ὑπερκείμενος τῆς νῦν πόλεως, ἔχων μέρος τοῦ τείχους αὐτῆς· τὰ γοῦν ὄπισθεν τοῦ Πρηῶνος κτήματα ἔτι νυνὶ λέγεται ἐν τῇ Ὀπισθολεπρίᾳ. Τραχεῖα δ' ἐκαλεῖτο ἡ περὶ τὸν Κορησσὸν παρώρειος. Ἡ δὲ πόλις ἦν τὸ παλαιὸν παρὰ τὸ Ἀθήναιον, τὸ νῦν ἔξω τῆς πόλεως ὄν, κατὰ τὴν καλουμένην Ὑπέλαιον· ὥστε ἡ Σμύρνα ἦν κατὰ τὸ νῦν γυμνάσιον, ὄπισθεν μὲν τῆς νῦν πόλεως, μεταξὺ δὲ Τρηχείης τε καὶ Λεπρῆς ἀκτῆς. Ἀπελθόντες δὲ παρὰ τῶν Ἐφεσίων οἱ Σμυρναῖοι, στρατεύουσιν ἐπὶ τὸν τόπον, ἐν ᾧ νῦν ἐστὶν ἡ Σμύρνα, Λελέγων κατεχόντων· ἐκβαλόντες δ' αὐτούς, ἔκτισαν τὴν παλαιὰν Σμύρναν, διέχουσαν τῆς νῦν περὶ εἴκοσι σταδίους. Ὕστερον δὲ ὑπὸ Αἰολέων ἐκπεσόντες κατέφυγον εἰς Κολοφῶνα, καὶ μετὰ τῶν ἐνθένδε ἐπανιόντες, τὴν σφετέραν ἀπέλαβον· καθάπερ καὶ Μίμνερμος ἐν τῇ Ναννοῖ φράζει, μνησθεὶς τῆς Σμύρνης, ὅτι περιμάχητος ἀεί.

Ἡμεῖς δ' αἰπὺ Πύλον Νηλήϊον ἄστυ λιπόντες,
Ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα.
Ἐς δ' ἄρα τὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες,
Ἑζόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες.
Κεῖθεν δ' Ἀστύεντος ἀπορνύμενοι ποταμοῖο
Θεῶν βουλῇ Σμύρναν εἵλομεν Αἰολίδα.

Ταῦτα μὲν περὶ τούτων· ἐφοδευτέον δὲ πάλιν τὰ καθ' ἕκαστα, τὴν ἀρχὴν ἀπὸ τῶν ἡγεμονικωτέρων τόπων ποιησαμένους, ἐφ' ὧνπερ καὶ πρώτων αἱ κτίσεις ἐγένοντο· λέγω δὲ τῶν περὶ Μίλητον καὶ Ἔφεσον· αὗται γὰρ ἄρισται πόλεις καὶ ἐνδοξόταται.

5. Μετὰ δὲ τὸ Ποσείδιον τὸ Μιλησίων ἑξῆς ἐστι τὸ μαντεῖον τοῦ Διδυμέως Ἀπόλλωνος, τὸ ἐν Βραγχίδαις, ἀνα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαράλειος Δημοτική Βιβλιοθήκη Ναυπάκτου

βάντι ὅσον ὀκτωκαίδεκα σταδίους· ἐνεπρήσθη δ' ὑπὸ Ξέρξου, καθάπερ καὶ τὰ ἄλλα ἱερὰ πλὴν τοῦ ἐν Ἐφέσῳ· οἱ δὲ Βραγχίδαι τοὺς θησαυροὺς τοῦ θεοῦ παραδόντες τῷ Πέρσῃ φεύγοντι συναπῆραν, τοῦ μὴ τῖσαι δίκας τῆς ἱεροσυλίας καὶ τῆς προδοσίας. Ὕστερον δ' οἱ Μιλήσιοι μέγιστον νεὼν τῶν πάντων κατεσκεύασαν· διέμεινε δὲ χωρὶς ὀροφῆς διὰ τὸ μέγεθος· κώμης γοῦν κατοικίαν ὁ τοῦ σηκοῦ περίβολος δέδεκται, καὶ ἄλσος ἐντός τε καὶ ἐκτὸς πολυτελές· ἄλλοι δὲ σηκοὶ τὸ μαντεῖον καὶ τὰ ἱερὰ συνέχουσιν. Ἐνταῦθα δὲ μυθεύεται τὰ περὶ τὸν Βράγχον, καὶ τὸν ἔρωτα τοῦ Ἀπόλλωνος. Κεκόσμηται δ' ἀναθήμασι τῶν ἀρχαίων τεχνῶν πολυτελέστατα, ἐντεῦθεν δ' ἐπὶ τὴν πόλιν οὐ πολλὴ ὁδός ἐστιν, οὐδὲ πλοῦς.

6. Φησὶ δ' Ἔφορος τὸ πρῶτον κτίσμα εἶναι Κρητικόν, ὑπὲρ τῆς θαλάσσης τετειχισμένον, ὅπου νῦν ἡ παλαιὰ Μίλητός ἐστι, Σαρπηδόνος ἐκ Μιλήτου τῆς Κρητικῆς ἀγαγόντος οἰκήτορας, καὶ θεμένου τοὔνομα τῇ πόλει τῆς ἐκεῖ πόλεως ἐπώνυμον, κατεχόντων πρότερον τὸν τόπον Λελέγων· τοὺς δὲ περὶ Νηλέα ὕστερον τὴν νῦν τειχίσαι πόλιν. Ἔχει δὲ τέτταρας λιμένας ἡ νῦν, ὧν ἕνα καὶ στόλῳ ἱκανόν. Πολλὰ δὲ τῆς πόλεως ἔργα ταύτης· μέγιστον δὲ τὸ πλῆθος τῶν ἀποικιῶν, ὅ τε γὰρ Εὔξεινος πόντος ὑπὸ τούτων συνῴκισται πᾶς· καὶ ἡ Προποντίς, καὶ ἄλλοι πλείους τόποι. Ἀναξιμένης γοῦν ὁ Λαμψακηνὸς οὕτω φησίν, ὅτι καὶ Ἴκαρον τὴν νῆσον καὶ Λέρον Μιλήσιοι συνῴκισαν, καὶ περὶ Ἑλλήσποντον ἐν μὲν τῇ χερρονήσῳ Λίμνας, ἐν δὲ τῇ Ἀσίᾳ Ἄβυδον, Ἀρίσβαν, Παισόν· ἐν δὲ τῇ Κυζικηνῶν νήσῳ Ἀρτάκην, Κύζικον· ἐν δὲ τῇ μεσογαίᾳ τῆς Τρῳάδος Σκῆψιν. Ἡμεῖς δ' ἐν τοῖς καθ' ἕκαστα λέγομεν καὶ τὰς ἄλλας τὰς ὑπὸ τούτου παραλελειμμένας. Οὔλιον δ' Ἀπόλλωνα καλοῦσί τινα καὶ Μιλήσιοι καὶ Δήλιοι, οἷον ὑγιαστικὸν καὶ παιωνικόν· τὸ γὰρ οὔλειν, ὑγιαίνειν· ἀφ' οὗ καὶ τὸ οὐλή, καὶ τό·

Οὖλέ τε καὶ μέγα χαῖρε.

Ἰατικὸς γὰρ ὁ Ἀπόλλων, καὶ ἡ Ἄρτεμις, ἀπὸ τοῦ ἀρτεμέας ποιεῖν· καὶ ὁ Ἥλιος δὲ καὶ ἡ Σελήνη συνοικειοῦνται τούτοις, ὅτι τοῖς περὶ τοὺς ἀέρας εὐκρασίας αἴτιοι· καὶ τὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λοιμικὰ δὲ πάθη καὶ τοὺς αὐτομάτους θανάτους τούτοις ἀνάπτουσι τοῖς θεοῖς.

7. Ἄνδρες δ' ἄξιοι μνήμης ἐγένοντο ἐν τῇ Μιλήτῳ Θαλῆς τε εἷς τῶν ἑπτὰ Σοφῶν, ὁ πρῶτος φυσιολογίας ἄρξας ἐν τοῖς Ἕλλησι, καὶ μαθηματικῆς· καὶ ὁ τούτου μαθητὴς Ἀναξίμανδρος, καὶ ὁ τούτου πάλιν Ἀναξιμένης· ἔτι δ' Ἑκαταῖος, ὁ τὴν ἱστορίαν συντάξας· καθ' ἡμᾶς δὲ Αἰσχίνης ὁ ῥήτωρ, ὃς ἐν φυγῇ διετέλεσε, παῤῥησιασάμενος πέρα τοῦ μετρίου πρὸς Πομπήϊον Μάγνον. Ἠτύχησε δ' ἡ πόλις, ἀποκλείσασα Ἀλέξανδρον, καὶ βίᾳ ληφθεῖσα, καθάπερ καὶ Ἁλικαρνασσός· ἔτι δὲ πρότερον ὑπὸ Περσῶν· καὶ φησί γε Καλλισθένης, ὑπ' Ἀθηναίων χιλίαις δραχμαῖς ζημιωθῆναι Φρύνιχον τὸν τραγικὸν, διότι δρᾶμα ἐποίησε Μιλήτου ἅλωσιν ὑπὸ Δαρείου. Πρόκειται δ' ἡ Λάδη νῆσος πλησίον καὶ περὶ τὰς Τραγαίας νησία ὑφόρμους ἔχοντα λησταῖς.

8. Ἑξῆς δ' ἐστὶν ὁ Λατμικὸς κόλπος, ἐν ᾧ Ἡράκλεια ἡ ὑπὸ Λάτμῳ λεγομένη, πολίχνιον ὕφορμον ἔχον· ἐκαλεῖτο δὲ πρότερον Λάτμος ὁμωνύμως τῷ ὑπερκειμένῳ ὄρει· ὅπερ Ἑκαταῖος μὲν ἐμφαίνει τὸ αὐτὸ εἶναι νομίζων τῷ ὑπὸ τοῦ Ποιητοῦ Φθιρῶν ὄρει λεγομένῳ (ὑπὲρ γὰρ τῆς Λάτμου φησὶ τὸ Φθιρῶν ὄρος κεῖσθαι), τινὲς δὲ τὸ Γρίον φασὶν, ὡς ἂν παράλληλον τῷ Λάτμῳ, ἀνῆκον ἀπὸ τῆς Μιλησίας πρὸς ἕω, διὰ τῆς Καρίας μέχρι Εὐρώμου καὶ Χαλκητόρων· ὑπέρκειται δὲ ταύτης ἐν ὕψει. Μικρὸν δ' ἄπωθεν, διαβάντι πρὸς τῷ Λάτμῳ ποταμίσκον, δείκνυται τάφος Ἐνδυμίωνος ἔν τινι σπηλαίῳ· εἶτα ἀφ' Ἡρακλείας ἐπὶ Πύῤῥαν πολίχνην πλοῦς ἑκατόν που σταδίων.

9. Μικρὸν δὲ πλέον τὸ ἀπὸ Μιλήτου εἰς Ἡράκλειαν ἐγκολπίζοντι, εὐθυπλοΐᾳ δ' εἰς Πύῤῥαν ἐκ Μιλήτου τριάκοντα· τοσαύτην ἔχει μακροπορίαν ὁ παρὰ γῆν πλοῦς. Ἀνάγκη δ' ἐπὶ τῶν ἐνδόξων τόπων ὑπομένειν τὸ περισκελὲς τῆς τοιαύτης γεωγραφίας.

10. Ἐκ δὲ Πύῤῥας ἐπὶ τὴν ἐκβολὴν τοῦ Μαιάνδρου, πεντήκοντα· τεναγώδης δ' ὁ τόπος καὶ ἑλώδης· ἀναπλεύσαντι δ' ὑπηρετικοῖς σκάφεσι τριάκοντα σταδίους πόλις Μυοῦς, μία τῶν Ἰάδων τῶν δώδεκα, ἣ νῦν δι' ὀλιγανδρίαν Μιλησίοις συμπεπόλισται. Ταύτην ὄψον λέγεται Θεμιστοκλεῖ δοῦναι Ξέρξης, ἄρτον δὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Μαγνησίαν, οἶνον δὲ Λάμψακον.

11. Ἔνθεν ἐν σταδίοις τέσσαρσι κώμη Καρικὴ Θυμβρία, παρ' ἣν Ἄορνόν ἐστι σπήλαιον ἱερὸν, Χαρώνειον λεγόμενον, ὀλεθρίους ἔχον ἀποφοράς. Ὑπέρκειται δὲ Μαγνησία ἡ πρὸς Μαιάνδρῳ, Μαγνήτων ἀποικία τῶν ἐν Θετταλίᾳ καὶ Κρητῶν, περὶ ἧς αὐτίκα ἐροῦμεν.

12. Μετὰ δὲ τὰς ἐκβολὰς τοῦ Μαιάνδρου ὁ κατὰ Πριήνην ἐστὶν αἰγιαλός· ὑπὲρ αὐτοῦ δ' ἡ Πριήνη, καὶ ἡ Μυκάλη τὸ ὄρος, εὔθηρον καὶ εὔδενδρον. Ἐπίκειται δὲ τῇ Σαμίᾳ, καὶ ποιεῖ πρὸς αὐτὴν ἐπέκεινα τῆς Τρωγιλίου καλουμένης ἄκρας ὅσον ἑπταστάδιον πορθμόν. Λέγεται δ' ὑπό τινων ἡ Πριήνη Κάδμη, ἐπειδὴ Φιλώτας, ὁ ἐπικτίσας αὐτὴν, Βοιώτιος ὑπῆρχεν. Ἐκ Πριήνης δ' ἦν Βίας, εἷς τῶν ἑπτὰ σοφῶν, περὶ οὗ φησιν οὕτως Ἱππῶναξ·

Καὶ δικάσασθαι Βίαντος τοῦ Πριηνέως Κρέσσων.

13. Τῆς δὲ Τρωγιλίου πρόκειται νησίον ὁμώνυμον· ἐντεῦθεν δὲ τῷ ἐγγυτάτῳ δίαρμά ἐστιν ἐπὶ Σούνιον σταδίων χιλίων ἑξακοσίων, κατ' ἀρχὰς μὲν Σάμον ἐν δεξιᾷ ἔχοντι καὶ Ἰκαρίαν, καὶ Κορασσίας· τοὺς δὲ Μελαντίους σκοπέλους ἐξ εὐωνύμων· τὸ λοιπὸν δὲ διὰ μέσων τῶν Κυκλάδων νήσων. Καὶ αὐτὴ δ' ἡ Τρωγίλιος ἄκρα πρόπους τις τῆς Μυκάλης ἐστί. Τῇ Μυκάλῃ δ' ὄρος ἄλλο πρόσκειται τῆς Ἐφεσίας, Πακτύης. Καὶ ἡ Μεσσωγὶς δὲ εἰς αὐτὴν καταστρέφει.

14. Ἀπὸ δὲ τῆς Τρωγιλίου στάδιοι τετταράκοντα εἰς τὴν Σάμον· βλέπει δὲ πρὸς νότον καὶ αὐτὴ καὶ ὁ λιμὴν, ἔχων ναύσταθμον. Ἔστι δ' αὐτῆς ἐν ἐπιπέδῳ τὸ πλέον ὑπὸ τῆς θαλάττης κλυζόμενον· μέρος δέ τι καὶ τὸ ὄρος ἀνέχει τὸ ὑπερκείμενον. Ἐν δεξιᾷ μὲν οὖν προσπλέουσι πρὸς τὴν πόλιν ἐστὶ τὸ Ποσείδιον, ἄκρα ἡ ποιοῦσα πρὸς τὴν Μυκάλην τὸν ἑπταστάδιον πορθμόν· ἔχει δὲ νεὼν Ποσειδῶνος· πρόκειται δ' αὐτοῦ νησίδιον ἡ Ναρθηκίς. Ἐπ' ἀριστερᾷ δὲ τὸ προάστειον τὸ πρὸς τῷ Ἡραίῳ, καὶ ὁ Ἴμβρασος ποταμὸς, καὶ τὸ Ἡραῖον, ἀρχαῖον ἱερὸν, καὶ νεὼς μέγας, ὃς νῦν πινακοθήκη ἐστί· χωρὶς δὲ τοῦ πλήθους τῶν ἐνταῦθα κειμένων πινάκων, ἄλλαι πινακοθῆκαι, καὶ ναΐσκοι τινές εἰσι, πλήρεις τῶν ἀρχαίων τεχνῶν· τό τε ὕπαιθρον ὁμοίως μεστόν ἐστι τῶν ἀρίστων ἀνδριάντων·



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ὧν τρία Μύρωνος ἔργα κολοσσικὰ, ἱδρυμένα ἐπὶ μιᾶς βάσεως· ἃ ἦρε μὲν Ἀντώνιος, ἀνέθηκε δὲ πάλιν ὁ Σεβαστὸς Καῖσαρ εἰς τὴν αὐτὴν βάσιν τὰ δύο, τὴν Ἀθηνᾶν καὶ τὸν Ἡρακλέα· τὸν δὲ Δία εἰς τὸ Καπετώλιον μετήνεγκε, κατασκευάσας αὐτῷ ναΐσκον.

15. Περίπλους δ' ἐστὶ τῆς Σαμίων νήσου σταδίων ἑξακοσίων. Ἐκαλεῖτο δὲ Παρθενία πρότερον οἰκούντων Καρῶν· εἶτα Ἀνθεμὶς, εἶτα Μελάμφυλος, εἶτα Σάμος, εἴτ' ἀπό τινος ἐπιχωρίου Ἥρωος, εἴτ' ἐξ Ἰθάκης καὶ Κεφαλληνίας ἀποικίσαντος. Καλεῖται μὲν οὖν καὶ ἄκρα τις Ἄμπελος βλέπουσα πως πρὸς τὸ τῆς Ἰκαρίας Δρέπανον· ἀλλὰ καὶ τὸ ὄρος ἅπαν, ὃ ποιεῖ τὴν ὅλην νῆσον ὀρεινὴν, ὁμωνύμως λέγεται. Ἔστι δ' οὐκ εὔοινος, καίπερ εὐοινουσῶν τῶν κύκλῳ νήσων, καὶ τῆς ἠπείρου σχεδόν τι τῆς προσεχοῦς πάσης τοὺς ἀρίστους ἐκφερούσης οἴνους, οἷον Χίου, καὶ Λέσβου, καὶ Κῶ. Καὶ μὴν καὶ ὁ Ἐφέσιος καὶ Μητροπολίτης ἀγαθοὶ, ἥ τε Μεσσωγὶς, καὶ ὁ Τμῶλος, καὶ ἡ Κατακεκαυμένη, καὶ Κνίδος, καὶ Σμύρνα, καὶ ἄλλοι ἀσημότεροι τόποι διαφόρως χρηστοινοῦσιν, ἢ πρὸς ἀπόλαυσιν, ἢ πρὸς διαίτας ἰατρικάς. Περὶ μὲν οἴνους οὐ πάνυ εὐτυχεῖ Σάμος· τὰ δ' ἄλλα εὐδαίμων, ὡς δῆλον ἔκ τε τοῦ περιμάχητον γενέσθαι, καὶ ἐκ τοῦ τοὺς ἐπαινοῦντας μὴ ὀκνεῖν ἐφαρμόττειν αὐτῇ τὴν λέγουσαν παροιμίαν, ὅτι φέρει καὶ ὀρνίθων γάλα, καθάπερ που καὶ Μένανδρος ἔφη. Τοῦτο δὲ καὶ τῶν τυραννίδων αἴτιον αὐτῇ κατέστη, καὶ τῆς πρὸς Ἀθηναίους ἔχθρας.

16. Αἱ μὲν οὖν τυραννίδες ἤκμασαν κατὰ Πολυκράτην μάλιστα, καὶ τὸν ἀδελφὸν αὐτοῦ Συλοσῶντα· ἦν δ' ὁ μὲν καὶ τύχῃ καὶ δυνάμει λαμπρὸς, ὥστε καὶ θαλαττοκρατῆσαι· τῆς δ' εὐτυχίας αὐτοῦ σημεῖον τιθέασιν, ὅτι, ῥίψαντος εἰς τὴν θάλατταν ἐπίτηδες τὸν δακτύλιον λίθου καὶ γλύμματος πολυτελοῦς, ἀνήνεγκε μικρὸν ὕστερον τῶν ἁλιέων τις τὸν καταπιόντα ἰχθὺν αὐτόν· ἀνατμηθέντος δ' εὑρέθη ὁ δακτύλιος· πυθόμενον δὲ τοῦτο τὸν Αἰγυπτίων βασιλέα φασὶ μαντικῶς πως ἀποφθέγξασθαι, ὡς ἐν βραχεῖ καταστρέψοι τὸν βίον εἰς οὐκ εὐτυχὲς τέλος ὁ τοσοῦτον ἐξηρμένος ταῖς εὐπραγίαις· καὶ δὴ καὶ συμβῆναι τοῦτο· ληφθέντα γὰρ ἐξ ἀπάτης ὑπὸ τοῦ σατράπου τῶν Περσῶν κρεμασθῆναι. Τούτῳ συνεβίωσεν Ἀνακρέων ὁ μελοποιὸς, καὶ δὴ καὶ πᾶσα ἡ ποίησις πλήρης ἐ-

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

στὶ τῆς περὶ αὐτοῦ μνήμης. Ἐπὶ τούτου δὲ καὶ Πυθαγόραν ἱστοροῦσι φυομένην ἰδόντα τὴν τυραννίδα, ἐκλιπεῖν τὴν πόλιν, καὶ ἀπελθεῖν εἰς Αἴγυπτον καὶ Βαβυλῶνα, φιλομαθίας χάριν. Ἐπανιόντα δ' ἐκεῖθεν, ὁρῶντα ἔτι συμμένουσαν τὴν τυραννίδα, πλεύσαντα εἰς Ἰταλίαν, ἐκεῖ διατελέσαι τὸν βίον. Περὶ Πολυκράτους μὲν ταῦτα.

17. Συλοσῶν δ' ἀπελείφθη μὲν ἰδιώτης ὑπὸ τοῦ ἀδελφοῦ· Δαρείῳ δὲ τῷ Ὑπάστεω χαρισάμενος ἐσθῆτα, ἧς ἐπεθύμησεν ἐκεῖνος φοροῦντα ἰδὼν (οὔπω δὲ ἐβασίλευε τότε), βασιλεύσαντος ἀντέλαβε δῶρον τὴν τυραννίδα. Πικρῶς δ' ἦρξεν, ὥστε καὶ ἐλειπάνδρησεν ἡ πόλις· κἀκεῖθεν ἐκπεσεῖν συνέβη τὴν παροιμίαν·

Ἕκητι Συλοσῶντος εὐρυχωρίη.

18. Ἀθηναῖοι δὲ πρότερον μὲν πέμψαντες στρατηγὸν Περικλέα, καὶ σὺν αὐτῷ Σοφοκλέα τὸν ποιητὴν, πολιορκίᾳ κακῶς διέθηκαν ἀπειθοῦντας τοὺς Σαμίους· ὕστερον δὲ καὶ κληρούχους ἔπεμψαν δισχιλίους ἐξ ἑαυτῶν, ὧν ἦν καὶ Νεοκλῆς, ὁ Ἐπικούρου τοῦ φιλοσόφου πατὴρ, γραμματοδιδάσκαλος, ὥς φασι· καὶ δὴ καὶ τραφῆναί φασιν ἐνθάδε, καὶ ἐν Τέῳ, καὶ ἐφηβεῦσαι Ἀθήνησι· γενέσθαι δ' αὐτῷ συνέφηβον Μένανδρον τὸν Κωμικόν. Σάμιος δ' ἦν καὶ Κρεώφυλος, ὅν φασι δεξάμενον ξενίᾳ ποτὲ Ὅμηρον, λαβεῖν δῶρον τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν. Καλλίμαχος δὲ τοὐναντίον ἐμφαίνει δι' ἐπιγράμματός τινος, ὡς ἐκείνου μὲν ποιήσαντος, λεγομένην δ' Ὁμήρου διὰ τὴν ξενίαν.

Τοῦ Σαμίου πόνος εἰμὶ, δόμῳ ποτὲ θεῖον Ὅμηρον
Δεξαμένου· κλαίω δ' Εὔρυτον, ὅσσ' ἔπαθεν,
Καὶ ξανθὴν Ἰόλειαν. Ὁμήρειον δὲ καλεῦμαι
Γράμμα. Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα.

Τινὲς δὲ διδάσκαλον Ὁμήρου τοῦτόν φασιν· οἱ δ' οὐ τοῦτον, ἀλλ' Ἀριστέαν τὸν Προκοννήσιον.

19. Παράκειται δὲ τῇ Σάμῳ νῆσος ἡ Ἰκαρία, ἀφ' ἧς τὸ Ἰκάριον πέλαγος. Αὕτη δ' ἐπώνυμός ἐστιν Ἰκάρου, παιδὸς τοῦ Δαιδάλου, ὅν φασι τῷ πατρὶ κοινωνήσαντα τῆς φυγῆς, ἡνίκα ἀμφότεροι πτερωθέντες ἀπῆραν ἐκ Κρήτης, πεσεῖν ἐν-

Πανεπιστήμιο ... Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

θάδε, μὴ κρατήσαντα τοῦ δρόμου· μετεωρισθέντι γὰρ πρὸς τὸν ἥλιον ἐπὶ πλέον, περιῤῥυῆναι τὰ πτερά, τακέντος τοῦ κηροῦ. Τριακοσίων δ' ἐστὶ τὴν περίμετρον σταδίων ἡ νῆσος ἅπασα, καὶ ἀλίμενος, πλὴν ὑφόρμων, ὧν ὁ κάλλιστος Ἱστοὶ λέγονται· ἄκρα δ' ἐστὶν ἀνατείνουσα πρὸς ζέφυρον. Ἔστι δὲ καὶ Ἀρτέμιδος ἱερόν, καλούμενον Ταυροπόλιον, ἐν τῇ νήσῳ, καὶ πολισμάτιον Οἰνόη, καὶ ἄλλο Δράκανον, ὁμώνυμον τῇ ἄκρᾳ, ἐφ' ᾗ ἵδρυται, πρόσορμον ἔχον· ἡ δὲ ἄκρα διέχει τῆς Σαμίων ἄκρας, τῆς Κανθαρίου καλουμένης, ὀγδοήκοντα σταδίους, ὅπερ ἐστὶν ἐλάχιστον δίαρμα τὸ μεταξύ. Νυνὶ μέντοι λειπανδροῦσαν Σάμιοι νέμονται τὰ πολλὰ βοσκημάτων χάριν.

20. Μετὰ δὲ τὸν Σάμιον πορθμόν, τὸν πρὸς Μυκάλῃ, πλέουσιν εἰς Ἔφεσον ἐν δεξιᾷ ἐστιν ἡ Ἐφεσίων παραλία· μέρος δέ τι ἔχουσιν αὐτῆς καὶ οἱ Σάμιοι. Πρῶτον δ' ἐστὶν ἐν τῇ παραλίᾳ τὸ Πανιώνιον, τρισὶ σταδίοις ὑπερκείμενον τῆς θαλάττης, ὅπου τὰ Πανιώνια, κοινὴ πανήγυρις τῶν Ἰώνων, συντελεῖται τῷ Ἑλικωνίῳ Ποσειδῶνι καὶ θυσία· ἱερῶνται δὲ Πριηνεῖς. Εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς Πελοποννησιακοῖς. Εἶτα Νεάπολις, ἣ πρότερον μὲν ἦν Ἐφεσίων, νῦν δὲ Σαμίων, διαλλαξαμένων πρὸς τὸ Μαραθήσιον, τὸ ἐγγυτέρω πρὸς τὸ ἀπωτέρω· εἶτα Πύγελα πολίχνιον, ἱερὸν ἔχον Ἀρτέμιδος Μουνυχίας, ἵδρυμα Ἀγαμέμνονος, οἰκούμενον ὑπὸ μέρους τῶν ἐκείνου λαῶν· πυγαλγέας γάρ τινας καὶ γενέσθαι, καὶ κληθῆναι· κάμνοντας δ' ὑπὸ τοῦ πάθους καταμεῖναι, καὶ τυχεῖν οἰκείου τοῦδε τοῦ ὀνόματος τὸν τόπον. Εἶτα λιμὴν Πάνορμος καλούμενος, ἔχων ἱερὸν τῆς Ἐφεσίας Ἀρτέμιδος· εἶθ' ἡ πόλις. Ἐν δὲ τῇ αὐτῇ παραλίᾳ μικρὸν ὑπὲρ τῆς θαλάττης ἐστὶ καὶ ἡ Ὀρτυγία, διαπρεπὲς ἄλσος παντοδαπῆς ὕλης, κυπαρίττου δὲ τῆς πλείστης. Διαῤῥεῖ δὲ ὁ Κέγχριος ποταμός, οὗ φασι νίψασθαι τὴν Λητὼ μετὰ τὰς ὠδῖνας. Ἐνταῦθα γὰρ μυθεύουσι τὴν λοχείαν καὶ τὴν τροφόν, τὴν Ὀρτυγίαν, καὶ τὸ ἄδυτον, ἐν ᾧ ἡ λοχεία, καὶ τὴν πλησίον ἐλαίαν, ᾗ πρῶτον ἐπαναπαύσασθαί φασι τὴν θεὸν ἀπολυθεῖσαν τῶν ὠδίνων. Ὑπέρκειται δὲ τοῦ ἄλσους ὄρος, ὁ Σολμισσός, ὅπου στάντας φασὶ τοὺς Κουρῆτας τῷ ψόφῳ τῶν ὅπλων ἐκπλῆξαι τὴν Ἥραν, ζηλοτύπως ἐφεδρεύουσαν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ λαθεῖν συμπράξαντας τὴν λοχείαν τῇ Λητοῖ. Ὄντων δ' ἐν τῷ τόπῳ πλειόνων ναῶν, τῶν μὲν ἀρχαίων, τῶν δ' ὕστερον γενομένων, ἐν μὲν τοῖς ἀρχαίοις ἀρχαῖά ἐστι ξόανα, ἐν δὲ τοῖς ὕστερον Σκόπα ἔργα· ἡ μὲν Λητώ, σκῆπτρον ἔχουσα, ἡ δ' Ὀρτυγία παρέστηκεν, ἑκατέρᾳ τῇ χειρὶ παιδίον ἔχουσα. Πανήγυρις δ' ἐνταῦθα συντελεῖται κατ' ἔτος· ἔθει δέ τινι οἱ νέοι φιλοκαλοῦσι, μάλιστα περὶ τὰς ἐνταῦθα εὐωχίας λαμπρυνόμενοι· τότε τῶν Κουρήτων ἀρχεῖον συνάγει συμπόσια, καί τινας μυστικὰς θυσίας ἐπιτελεῖ.

21. Τὴν δὲ πόλιν ᾤκουν μὲν Κᾶρές τε καὶ Λέλεγες· ἐκβαλὼν δ' ὁ Ἄνδροκλος τοὺς πλείστους ᾤκισεν ἐκ τῶν συνελθόντων αὐτῷ περὶ τὸ Ἀθήναιον καὶ τὴν Ὑπέλαιον, προσπεριλαβὼν καὶ τῆς περὶ τὸν Κορησσὸν παρωρείας. Μέχρι μὲν δὴ τῶν κατὰ Κροῖσον (χρόνων) οὕτως ᾠκεῖτο· ὕστερον δ', ἀπὸ τῆς παρωρείου καταβάντες, περὶ τὸ νῦν ἱερὸν ᾤκησαν μέχρι Ἀλεξάνδρου. Λυσίμαχος δὲ τὴν νῦν πόλιν τειχίσας, ἀηδῶς τῶν ἀνθρώπων μεθισταμένων, τηρήσας καταῤῥάκτην ὄμβρον, συνήργησε καὶ αὐτός, καὶ τοὺς ῥινούχους ἐνέφραξεν, ὥστε κατακλῦσαι τὴν πόλιν· οἱ δὲ μετέστησαν ἄσμενοι. Ἐκάλεσε δὲ Ἀρσινόην ἀπὸ τῆς γυναικὸς τὴν πόλιν· ἐπεκράτησε μέντοι τὸ ἀρχαῖον ὄνομα. Ἦν δὲ γερουσία καταγραφομένη· τούτοις δὲ συνῄεσαν οἱ ἐπίκλητοι καλούμενοι, καὶ διῴκουν πάντα.

22. Τὸν δὲ νεὼν τῆς Ἀρτέμιδος πρῶτος μὲν Χερσίφρων ἠρχιτεκτόνησεν, εἶτ' ἄλλος ἐποίησε μείζω· ὡς δὲ τοῦτον Ἡρόστρατός τις ἐνέπρησεν, ἄλλον ἀμείνω κατεσκεύασαν, συνενέγκαντες τὸν τῶν γυναικῶν κόσμον, καὶ τὰς ἰδίας οὐσίας, διαθέμενοι δὲ καὶ τοὺς προτέρους κίονας· τούτων δὲ μαρτύριά ἐστι τὰ γεννηθέντα τότε ψηφίσματα· ἅπερ ἀγνοοῦντά φησιν ὁ Ἀρτεμίδωρος τὸν Ταυρομενίτην Τίμαιον, καὶ ἄλλως βάσκανον ὄντα, καὶ συκοφάντην (διὸ καὶ Ἐπιτίμαιον κληθῆναι), λέγειν, ὡς ἐκ τῶν Περσικῶν παρακαταθηκῶν ἐποιήσαντο τοῦ ἱεροῦ τὴν ἐπισκευήν· οὔτε δὲ ὑπάρξαι παρακαταθήκας τότε, εἴτε ὑπῆρξαν, συνεμπεπρῆσθαι τῷ ναῷ· μετὰ δὲ τὴν ἔμπρησιν τῆς ὀροφῆς ἠφανισμένης, ἐν ὑπαίθρῳ τῷ σηκῷ τίνα ἂν ἐθελῆσαι παρακαταθήκην κειμένην ἔχειν; Ἀλέξανδρον δὲ τοῖς Ἐφεσίοις ὑποσχέσθαι τὰ γεγο-

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νότα καὶ τὰ μέλλοντα ἀναλώματα, ἐφ' ᾧ τὴν ἐπιγραφὴν αὐτὸν ἔχειν· τοὺς δὲ μὴ ἐθελῆσαι, πολὺ μᾶλλον οὐκ ἂν ἐθελήσαντας ἐξ ἱεροσυλίας καὶ ἀποστερήσεως φιλοδοξεῖν· ἐπαινεῖ τε τὸν εἰπόντα τῶν Ἐφεσίων πρὸς τὸν βασιλέα, ὡς οὐ πρέποι θεῷ θεοῖς ἀναθήματα κατασκευάζειν.

23. Μετὰ δὲ τὴν τοῦ νεὼ συντέλειαν, ὅν φησιν εἶναι Δεινοκράτους ἔργον (τοῦ δ' αὐτοῦ καὶ τὴν Ἀλεξανδρείας κτίσιν, τὸν δ' αὐτὸν ὑποσχέσθαι Ἀλεξάνδρῳ τὸν Ἄθω διασκευάσειν εἰς αὐτόν, ὡσανεὶ ἐκ πρόχου τινὸς εἰς φιάλην καταχέοντα σπονδήν, ποιήσειν τε πόλεις δύο, τὴν μὲν ἐκ δεξιῶν τοῦ ὄρους, τὴν δ' ἐν ἀριστερᾷ, ἀπὸ δὲ τῆς ἑτέρας εἰς τὴν ἑτέραν ῥέοντα ποταμόν)· μετὰ δ' οὖν τὸν νεὼν, τὸ τῶν ἄλλων ἀναθημάτων πλῆθος εὑρέσθαι τῇ ἐκτιμήσει τῶν δημιουργῶν· τὸν δὲ δὴ βωμὸν εἶναι τῶν Πραξιτέλους ἔργων ἅπαντα σχεδόν τι πλήρη. Ἡμῖν δ' ἐδείκνυτο καὶ τῶν Θράσωνός τινα, οὗπερ καὶ τὸ Ἑκατήσιόν ἐστι καὶ ἡ κρήνη, Πηνελόπειά (τε) καὶ ἡ πρεσβῦτις ἡ Εὐρύκλεια. Ἱερέας δ' εὐνούχους εἶχον, οὓς ἐκάλουν Μεγαλοβύζους, ἄλλους ἀλλαχόθεν μετιόντες ἀεί τινας ἀξίους τῆς τοιαύτης προστασίας· καὶ ἦγον ἐν τιμῇ μεγάλῃ· συνιερᾶσθαι [δὲ τούτοις ἐχρῆν παρθένους. Νυνὶ δὲ τὰ μὲν φυλάττεται τῶν νομίμων, τὰ δ' ἧττον. Ἄσυλον δὲ μένει τὸ ἱερὸν καὶ νῦν, (ἢ) καὶ πρότερον· τῆς δ' ἀσυλίας τοὺς ὅρους ἀλλαγῆναι συνέβη πολλάκις, Ἀλεξάνδρου μὲν ἐπὶ στάδιον ἐκτείναντος, Μιθριδάτου δὲ τόξευμα ἀφέντος ἀπὸ τῆς γωνίας τοῦ κεράμου καὶ δόξαντος ὑπερβαλέσθαι μικρὰ τὸ στάδιον, Ἀντωνίου δὲ διπλασιάσαντος τοῦτο, καὶ συμπεριλαβόντος τῇ ἀσυλίᾳ μέρος τι τῆς πόλεως. Ἐφάνη δὲ τοῦτο βλαβερὸν, καὶ ἐπὶ τοῖς κακούργοις ποιοῦν τὴν πόλιν· ὥστ' ἠκύρωσεν ὁ Σεβαστὸς Καῖσαρ.

24. Ἔχει δ' ἡ πόλις καὶ νεώρια καὶ λιμένα· βραχύστομον δ' ἐποίησαν οἱ ἀρχιτέκτονες, συνεξαπατηθέντες τῷ κελεύσαντι βασιλεῖ. Οὗτος δ' ἦν Ἄτταλος, ὁ Φιλάδελφος. Οἰηθεὶς γὰρ οὗτος, βαθὺν τὸν εἴσπλουν ὁλκάσι μεγάλαις ἔσεσθαι, καὶ αὐτὸν τὸν λιμένα, τεναγώδη ὄντα πρότερον, διὰ τὰς ἐκ τοῦ Καΰστρου προσχώσεις, ἐὰν παραβληθῇ χῶμα τῷ στόματι, πλατεῖ τελέως ὄντι, ἐκέλευσε γενέσθαι τὸ χῶμα. Συνέβη δὲ τοὐναντίον· ἐντὸς γὰρ ἡ χοῦς εἰργομένη, τεναγί-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημοτική Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ζειν μᾶλλον ἐποίησε τὸν λιμένα σύμπαντα μέχρι τοῦ στόματος· πρότερον δ' ἱκανῶς αἱ πλημμυρίδες καὶ ἡ παλίῤῥοια τοῦ πελάγους ἀφῄρει τὴν χοῦν, καὶ ἀνέσπα πρὸς τὸ ἐκτός. Ὁ μὲν οὖν λιμὴν τοιοῦτος. Ἡ δὲ πόλις τῇ πρὸς τὰ ἄλλα εὐκαιρίᾳ τῶν τόπων αὔξεται καθ' ἑκάστην ἡμέραν, ἐμπορεῖον οὖσα μέγιστον τῶν κατὰ τὴν Ἀσίαν τὴν ἐντὸς τοῦ Ταύρου.

25 Ἄνδρες δ' ἀξιόλογοι γεγόνασιν ἐν αὐτῇ· τῶν μὲν παλαιῶν Ἡράκλειτός τε, ὁ σκοτεινὸς καλούμενος, καὶ Ἑρμόδωρος, περὶ οὗ ὁ αὐτὸς οὗτός φησιν. "Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι, οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήϊστον ἐξέβαλον, φάντες, Ἡμέων μηδεὶς ὀνήϊστος ἔστω· εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ' ἄλλων." Δοκεῖ δ' οὗτος ὁ ἀνὴρ νόμους τινὰς Ῥωμαίοις συγγράψαι. Καὶ Ἱππῶναξ δ' ἐστὶν ὁ ποιητὴς ἐξ Ἐφέσου, καὶ Παῤῥάσιος ὁ ζωγράφος καὶ Ἀπελλῆς. Τῶν δὲ νεωτέρων Ἀλέξανδρος ῥήτωρ, ὁ Λύχνος προσαγορευθείς, ὃς καὶ ἐπολιτεύσατο, καὶ συνέγραψεν ἱστορίαν, καὶ ἔπη κατέλιπεν, ἐν οἷς τά τε οὐράνια διατίθεται, καὶ τὰς ἠπείρους γεωγραφεῖ, καθ' ἑκάστην ἐκδοὺς ποιήματα.

26. Μετὰ δὲ τὴν ἐκβολὴν τοῦ Καΰστρου λίμνη ἐστὶν ἐκ τοῦ πελάγους ἀναχεομένη· καλεῖται δὲ Σελινουσία· καὶ ἑφεξῆς ἄλλη σύῤῥους αὐτῇ, μεγάλας ἔχουσαι προσόδους· ἃς οἱ βασιλεῖς μέν, ἱερὰς οὔσας, ἀφείλοντο τὴν Θεόν· Ῥωμαῖοι δ' ἀπέδοσαν· πάλιν δ' οἱ δημοσιῶναι βιασάμενοι περιέστησαν εἰς ἑαυτοὺς τὰ τέλη. Πρεσβεύσας δὲ ὁ Ἀρτεμίδωρος, ὥς φησι, τάς τε λίμνας ἀπέλαβε τῇ Θεῷ, καὶ τὴν Ἡρακλεῶτιν ἀφισταμένην ἐξενίκησε κριθεὶς ἐν Ῥώμῃ· ἀντὶ δὲ τούτων εἰκόνα χρυσῆν ἀνέστησεν ἡ πόλις (αὐτῷ) ἐν τῷ ἱερῷ. Τῆς δὲ λίμνης ἐν τῷ κοιλοτάτῳ βασιλέως ἐστὶν ἱερόν· φασὶ δ' Ἀγαμέμνονος ἵδρυμα.

27. Εἶτα τὸ Γαλλήσιον ὄρος καὶ ἡ Κολοφών, πόλις Ἰωνική, καὶ τὸ πρὸ αὐτῆς ἄλσος τοῦ Κλαρίου Ἀπόλλωνος, ἐν ᾧ καὶ μαντεῖον ἦν ποτε παλαιόν. Λέγεται δὲ Κάλχας ὁ μάντις μετ' Ἀμφιλόχου τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ Τροίας ἐπάνοδον πεζῇ δεῦρο ἀφικέσθαι· περιτυχὼν δ' ἑαυτοῦ κρείττονι μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς, τῆς Τειρεσίου θυγατρός, διὰ λύπην ἀποθανεῖν· Ἡσίοδος μὲν οὖν οὕ-

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα·

Θαῦμά μ' ἔχει κατὰ θυμὸν, ὅσους ἐρινειὸς ὀλύνθους
Οὗτος ἔχει, μικρός περ ἐὼν εἴποις ἂν ἀριθμόν;

τὸν δ' ἀποκρίνασθαι·

Μύριοί εἰσιν ἀριθμὸν, ἀτὰρ μέτρον γε μέδιμνος·
Εἷς δὲ περισσεύει, τὸν ἐπελθέμεν οὐκ ἂν δύναιο.
Ὣς φάτο· καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου.
Καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψε.

Φερεκύδης δέ φησιν, ὗν προβαλεῖν ἔγκυον τὸν Κάλχαντα, καὶ ἐρωτῆσαι, πόσους ἔχει χοίρους· τὸν δ' εἰπεῖν, ὅτι τρεῖς, ὧν ἕνα θῆλυν· ἀληθεύσαντος δ' ἀποθανεῖν ὑπὸ λύπης· Οἱ δὲ τὸν μὲν Κάλχαντα προβαλεῖν τὴν ὗν φασι· τὸν δὲ, τὸν ἐρινεόν· καὶ τὸν μὲν εἰπεῖν τἀληθὲς, τὸν δὲ μή· ἀποθανεῖν δὲ ὑπὸ λύπης, κατά τι λόγιον. Λέγει δ' αὐτὸ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει, ὡς εἱμαρμένον εἴη ἀποθανεῖν, ὅταν κρείττονι ἑαυτοῦ μάντει περιτύχῃ· οὗτος δὲ καὶ εἰς Κιλικίαν μεταφέρει τὴν ἔριν, καὶ τὸν θάνατον τοῦ Κάλχαντος. Τὰ μὲν παλαιὰ τοιαῦτα.

28. Ἐκτήσαντο δέ ποτε καὶ ναυτικὴν ἀξιόλογον δύναμιν Κολοφώνιοι καὶ ἱππικὴν, ἐν ᾗ τοσοῦτον διέφερον τῶν ἄλλων, ὥσθ', ὅπου ποτὲ ἐν τοῖς δυσκαταλύτοις πολέμοις τὸ ἱππικὸν τῶν Κολοφωνίων ἐπικουρήσειε, λύεσθαι τὸν πόλεμον· ἀφ' οὗ καὶ τὴν παροιμίαν ἐκδοθῆναι τὴν λέγουσαν, Τὸν Κολοφῶνα ἐπέθηκεν, ὅταν τέλος ἐπιτεθῇ βέβαιον τῷ πράγματι. Ἄνδρες δ' ἐγένοντο Κολοφώνιοι τῶν μνημονευομένων, Μίμνερμος αὐλητὴς ἅμα καὶ ποιητὴς ἐλεγείας, καὶ Ξενοφάνης ὁ φυσικὸς, ὁ τοὺς σίλλους ποιήσας διὰ ποιημάτων· λέγει δὲ Πίνδαρος καὶ Πολύμναστόν τινα τῶν περὶ τὴν μουσικὴν ἐλλογίμων·

Φθέγμα μὲν πάγκοινον ἔγνω-
κας Πολυμνάστου Κολοφωνίου ἀνδρός·

καὶ Ὅμηρον δέ τινες ἐντεῦθεν εἶναί φασιν. Εὐθυπλοΐα μὲν οὖν ἑβδομήκοντα στάδιοί εἰσιν ἐξ Ἐφέσου· ἐγκολπίζοντι δὲ ἑκατὸν καὶ εἴκοσι.

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

29. Μετὰ δὲ Κολοφῶνα ὄρος Κοράκιον, καὶ νησίον ἱερὸν Ἀρτέμιδος, εἰς ὃ διανηχομένας τίκτειν τὰς ἐλάφους πεπιστεύκασιν. Εἶτα Λέβεδος, διέχουσα Κολοφῶνος ἑκατὸν καὶ εἴκοσι σταδίους. Ἐνταῦθα τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν ἡ σύνοδος καὶ κατοικία τῶν ἐν Ἰωνίᾳ μέχρι Ἑλλησπόντου, ἐν ᾗ πανήγυρίς τε καὶ ἀγῶνες κατ' ἔτος συντελοῦνται τῷ Διονύσῳ. Ἐν Τέῳ δὲ ᾤκουν πρότερον τῇ ἐφεξῆς πόλει τῶν Ἰώνων· ἐμπεσούσης δὲ στάσεως, εἰς Ἔφεσον κατέφυγον. Ἀττάλου δ' εἰς Μυόννησον αὐτοὺς καταστήσαντος μεταξὺ Τέω καὶ Λεβέδου, πρεσβεύονται Τήϊοι, δεόμενοι Ῥωμαίων μὴ περιϊδεῖν ἐπιτειχιζομένην σφίσι τὴν Μυόννησον· οἱ δὲ μετέστησαν εἰς Λέβεδον, δεξαμένων τῶν Λεβεδίων ἀσμένως διὰ τὴν κατέχουσαν αὐτοὺς ὀλιγανδρίαν. Καὶ Τέως δὲ Λεβέδου διέχει ἑκατὸν εἴκοσι στάδια. Μεταξὺ δὲ νῆσος Ἀσπίς· οἱ δ' Ἀρκόννησον καλοῦσι· καὶ ἡ Μυόννησος δὲ ἐφ' ὕψους χεῤῥονησιάζοντος κατοικεῖται.

30. Καὶ ἡ Τέως δὲ ἐπὶ χεῤῥονήσῳ ἵδρυται, λιμένα ἔχουσα. Ἐνθένδ' ἐστὶν Ἀνακρέων, ὁ μελοποιός, ἐφ' οὗ Τήϊοι, τὴν πόλιν ἐκλιπόντες, εἰς Ἄβδηρα ἀπῴκησαν, Θρακίαν πόλιν, οὐ φέροντες τὴν τῶν Περσῶν ὕβριν· ἀφ' οὗ καὶ τοῦτ' εἴρηται·

Ἄβδηρα, καλὴ Τηΐων ἀποικία.

Πάλιν δ' ἐπανῆλθόν τινες αὐτῶν χρόνῳ ὕστερον· εἴρηται δὲ καὶ περὶ Ἀπελλίκωντος, ὅτι Τήϊος ἦν κἀκεῖνος· γέγονε δὲ καὶ συγγραφεὺς Ἑκαταῖος ἐκ τῆς αὐτῆς πόλεως. Ἔστι καὶ ἄλλος λιμὴν ὁ πρόσβοῤῥος ἀπὸ τριάκοντα σταδίων τῆς πόλεως, Χεῤῥαιίδαι.

31. Εἶτα Χαλκιδεῖς, καὶ ὁ τῆς Χεῤῥονήσου ἰσθμὸς τῆς Τηΐων καὶ Ἐρυθραίων· ἐντὸς μὲν οὖν τοῦ Ἰσθμοῦ οἰκοῦσιν οὗτοι· ἐπ' αὐτῷ δὲ τῷ ἰσθμῷ Τήϊοι καὶ Κλαζομένιοι· τὸ μὲν γὰρ νότιον τοῦ ἰσθμοῦ πλευρὸν ἔχουσι Τήϊοι, τοὺς Χαλκιδέας· τὸ δὲ πρόσβοῤῥον Κλαζομένιοι, καθὸ συνάπτουσι τῇ Ἐρυθραίᾳ. Κεῖται δ' Ἀπόκρημνος ὁ τόπος ἐπὶ τῇ ἀρχῇ τοῦ ἰσθμοῦ, ἐντὸς μὲν ἀπολαμβάνων τὴν Ἐρυθραίαν, ἐκτὸς δὲ τὴν τῶν Κλαζομενίων. Ὑπέρκειται δὲ τῶν Χαλκιδέων ἄλσος καθιερωμένον Ἀλεξάνδρῳ, τῷ Φιλίππου· καὶ ἀγὼν ὑπὸ τοῦ κοινοῦ τῶν Ἰώνων, Ἀλεξάνδρεια, καταγγέλλε-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ται συντελούμενος ἐνταῦθα. Ἡ δ' ὑπέρβασις τοῦ ἰσθμοῦ, τοῦ ἀπὸ τοῦ Ἀλεξανδρείου καὶ τῶν Χαλκιδέων μέχρι τοῦ Ἀποκρήμνου πεντήκοντά εἰσι στάδιοι· ὁ δὲ περίπλους πλείους, ἢ χίλιοι. Κατὰ μέσον δέ που τὸν περίπλουν αἱ Ἐρυθραί, πόλις Ἰωνική, λιμένα ἔχουσα, καὶ νησίδας προκειμένας τέτταρας, Ἵππους καλουμένας.

32. Πρὶν δ' ἐλθεῖν ἐπὶ τὰς Ἐρυθράς, πρῶτον μὲν Ἔραι πολίχνιόν ἐστι Τηΐων. Εἶτα Κώρυκος ὄρος ὑψηλόν, καὶ λιμὴν ὑπ' αὐτῷ Κασύστης, καὶ ἄλλος Ἐρυθρᾶς λιμὴν καλούμενος, καὶ ἐφεξῆς πλείους ἕτεροι. Φασὶ δὲ τὸν παράπλουν τοῦ Κωρύκου πάντα λῃστήριον ὑπάρξαι τῶν Κωρυκαίων καλουμένων, εὑραμένων τρόπον καινὸν τῆς ἐπιβουλῆς τῶν πλοϊζομένων· κατεσπαρμένους γὰρ ἐν τοῖς λιμέσι τοῖς καθορμιζομένοις ἐμπόροις προσφοιτᾶν καὶ ὠτακουστεῖν, τί φέροιεν, καὶ ποῦ πλέοιεν· εἶτα συνελθόντας ἀναχθεῖσι τοῖς ἀνθρώποις ἐπιτίθεσθαι καὶ καθαρπάζειν· ἀφ' οὗ δὴ πάντα τὸν πολυπράγμονα, καὶ κατακούειν ἐπιχειροῦντα τῶν λάθρα καὶ ἐν ἀπορρήτῳ διαλεγομένων, Κωρυκαῖον καλοῦμεν, καὶ ἐν παροιμίᾳ φαμέν·

Τοῦ δ' ἄρα ὁ Κωρυκαῖος ἠκροάζετο,

ὅταν δοκῇ τις πράττειν δι' ἀπορρήτων, ἢ λαλεῖν, μὴ λανθάνῃ δὲ διὰ τοὺς κατασκοποῦντας, καὶ φιλοπευστοῦντας τὰ μὴ προσήκοντα.

33. Μετὰ δὲ Κώρυκον Ἀλόννησος νησίον· εἶτα τὸ Ἄργεννον, ἄκρα τῆς Ἐρυθραίας, πλησιάζουσα μάλιστα τῷ Χίων Ποσειδίῳ, ποιοῦντι πορθμὸν ὅσον ἑξήκοντα σταδίων. Μεταξὺ δὲ τῶν Ἐρυθρῶν καὶ τοῦ Ἀποκρήμνου Μίμας ἐστὶν ὄρος ὑψηλόν, εὔθηρον, πολύδενδρον· εἶτα κώμη Κυβελία καὶ ἄκρα Μέλαινα καλουμένη, μύλων ἔχουσα λατόμιον.

34. Ἐκ δ' Ἐρυθρῶν Σίβυλλά ἐστιν, ἔνθους καὶ μαντικὴ γυνὴ τῶν ἀρχαίων τις· κατ' Ἀλέξανδρον δὲ ἄλλη ἦν τὸν αὐτὸν τρόπον μαντική, καλουμένη Ἀθηναΐς, ἐκ τῆς αὐτῆς πόλεως· καὶ καθ' ἡμᾶς Ἡρακλείδης, Ἡροφίλειος ἰατρός, συσχολαστὴς Ἀπολλωνίου τοῦ Μυός.

35. Ἡ δὲ Χίος τὸν μὲν περίπλουν ἐστὶ σταδίων ἐννεακοσίων παρὰ γῆν φερομένῳ· πόλιν δ' ἔχει εὐλίμενον καὶ ναύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

σταθμὸν ναυσὶν ὀγδοήκοντα. Ἐν δὲ τῷ περίπλῳ δεξιὰν τὴν νῆσον ἔχοντι ἀπὸ τῆς πόλεως, πρῶτον μέν ἐστι τὸ Ποσείδιον, εἶτα Φάναι, λιμὴν βαθύς, καὶ νεὼς Ἀπόλλωνος, καὶ ἄλσος φοινίκων· εἶτα Νότιον, ὕφορμος αἰγιαλός· εἶτα Ἐλαιοῦς, καὶ οὗτος ὕφορμος αἰγιαλός, ὅθεν εἰς τὴν πόλιν ἑξήκοντα σταδίων ἰσθμός· περίπλους δὲ τριακοσίων ἑξήκοντα, ὃν ἐπήλθομεν. Εἶτα Μέλαινα ἄκρα, καθ' ἣν τὰ Ψύρα νῆσος ἀπὸ πεντήκοντα σταδίων τῆς ἄκρας, ὑψηλή, πόλιν ὁμώνυμον ἔχουσα· κύκλος δὲ τῆς νήσου τετταράκοντα στάδιοι. Εἶθ' ἡ Ἀριουσία χώρα, τραχεῖα καὶ ἀλίμενος, σταδίων ὅσον τριακοσίων, οἶνον ἄριστον φέρουσα τῶν Ἑλληνικῶν. Εἶτα τὸ Πελιναῖον ὄρος ὑψηλότατον τῶν ἐν τῇ νήσῳ. Ἔχει δ' ἡ νῆσος καὶ λατόμιον μαρμάρου λίθου. Ἄνδρες δὲ Χῖοι γεγόνασιν ἐλλόγιμοι, Ἴων τε ὁ τραγικός, καὶ Θεόπομπος ὁ συγγραφεύς, καὶ Θεόκριτος ὁ σοφιστής· οὗτοι δὲ καὶ ἀντεπολιτεύσαντο ἀλλήλοις. Ἀμφισβητοῦσι δὲ καὶ Χῖοι Ὁμήρου, μαρτύριον τοὺς Ὁμηρίδας καλουμένους ἀπὸ τοῦ ἐκείνου γένους προχειριζόμενοι, ὧν καὶ Πίνδαρος μέμνηται·

Ὅθεν περ καὶ Ὁμηρίδαι
Ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοί.

Ἐκέκτηντο δὲ καὶ ναυτικόν ποτε Χῖοι, καὶ ἀνθήπτοντο τῆς κατὰ θάλατταν ἀρχῆς καὶ ἐλευθερίας. Ἐκ Χίου δ' ἐς Λέσβον νότῳ τετρακόσιοί που στάδιοι.

36. Ἐκ δὲ τοῦ Ἀποκρήμνου Χύτριόν ἐστι τόπος, ἐν ᾧ πρότερον ἵδρυντο Κλαζομεναί· εἶθ' ἡ νῦν πόλις, νησία ἔχουσα προκείμενα ὀκτὼ γεωργούμενα. Κλαζομένιος δ' ἦν ἀνὴρ ἐπιφανὴς Ἀναξαγόρας ὁ φυσικός, Ἀναξιμένους ὁμιλητὴς τοῦ Μιλησίου· διήκουσαν δὲ τούτου Ἀρχέλαος ὁ φυσικός, καὶ Εὐριπίδης ὁ ποιητής. Εἶθ' ἱερὸν Ἀπόλλωνος, καὶ θερμὰ ὕδατα· καὶ ὁ Σμυρναίων κόλπος, καὶ ἡ πόλις.

37. Ἑξῆς δὲ ἄλλος κόλπος, ἐν ᾧ ἡ παλαιὰ Σμύρνα, ἀπὸ εἴκοσι σταδίων τῆς νῦν. Λυδῶν δὲ κατασπασάντων τὴν Σμύρναν, περὶ τετρακόσια ἔτη διετέλεσεν οἰκουμένη κωμηδόν· εἶτα ἀνήγειρεν αὐτὴν Ἀντίγονος, καὶ μετὰ ταῦτα Λυσίμαχος, καὶ νῦν ἐστι καλλίστη πασῶν· μέρος μέν τι ἔχουσα ἐπ' ὄρει τετειχισμένον, τὸ δὲ πλέον ἐν τῷ πεδίῳ πρὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τῷ λιμένι, καὶ πρὸς τῷ Μητρώῳ, καὶ πρὸς τῷ γυμνασίῳ. Ἔστι δ' ἡ ῥυμοτομία διάφορος ἐπ' εὐθειῶν εἰς δύναμιν, καὶ αἱ ὁδοὶ λιθόστρωτοι, στοαί τε μεγάλαι τετράγωνοι, ἐπίπεδοί τε, καὶ ὑπερῷοι. Ἔστι δὲ καὶ βιβλιοθήκη, καὶ τὸ Ὁμήρειον, στοὰ τετράγωνος, ἔχουσα νεὼν Ὁμήρου καὶ ξόανον· ἀντιποιοῦνται γὰρ καὶ οὗτοι διαφερόντως τοῦ Ποιητοῦ· καὶ δὴ καὶ νόμισμά τι χαλκοῦν παρ' αὐτοῖς Ὁμήρειον λέγεται. Ῥεῖ δὲ πλησίον τοῦ τείχους ὁ Μέλης ποταμός. Ἔστι δὲ πρὸς τῇ ἄλλῃ κατασκευῇ τῆς πόλεως καὶ λιμὴν κλειστός. Ἓν δ' ἐλάττωμα τῶν ἀρχιτεκτόνων οὐ μικρὸν, ὅτι τὰς ὁδοὺς στορεννύντες, ὑποῤῥύσεις οὐκ ἔδωκαν αὐταῖς, ἀλλ' ἐπιπολάζει τὰ σκύβαλα, καὶ μάλιστα ἐν τοῖς ὄμβροις ἐπαφιεμένων τῶν ἀποσκευῶν. Ἐνταῦθα Δολοβέλλας Τρεβώνιον ἐκπολιορκήσας ἀνεῖλεν, ἕνα τῶν δολοφονησάντων Καίσαρα τὸν θεὸν, καὶ τῆς πόλεως παρέλυσε πολλὰ μέρη.

38. Μετὰ δὲ Σμύρναν αἱ Λεῦκαι πολίχνιον, ὃ ἀπέστησεν Ἀριστόνικος μετὰ τὴν Ἀττάλου τοῦ Φιλομήτορος τελευτὴν, δοκῶν τοῦ γένους εἶναι τοῦ τῶν βασιλέων, καὶ διανοούμενος εἰς ἑαυτὸν ποιεῖσθαι τὴν ἀρχήν. Ἐντεῦθεν μὲν οὖν ἐξέπεσεν ἡττηθεὶς ναυμαχίᾳ περὶ τὴν Κυμαίαν ὑπὸ Ἐφεσίων· εἰς δὲ τὴν μεσόγαιαν ἀνιὼν, ἤθροισε διὰ ταχέων πλῆθος ἀπόρων τε ἀνθρώπων καὶ δούλων, ἐπ' ἐλευθερίᾳ κατακεκλημένων, οὓς Ἡλιοπολίτας ἐκάλεσε. Πρῶτον μὲν οὖν παρεισέπεσεν εἰς Θυάτειρα, εἶτ' Ἀπολλωνίδα ἔσχεν, εἶτ' ἄλλων ἐφίετο φρουρίων. Οὐ πολὺν δὲ διεγένετο χρόνον, ἀλλ' εὐθὺς αἵ τε πόλεις ἔπεμψαν πλῆθος, καὶ Νικομήδης ὁ Βιθυνὸς ἐπεκούρησε, καὶ οἱ τῶν Καππαδόκων βασιλεῖς. Ἔπειτα πρέσβεις Ῥωμαίων πέντε ἧκον, καὶ μετὰ ταῦτα στρατιὰ, καὶ ὕπατος Πόπλιος Κράσσος, καὶ μετὰ ταῦτα Μάρκος Περπέρνας, ὃς καὶ κατέλυσε τὸν πόλεμον, ζωγρίᾳ λαβὼν τὸν Ἀριστόνικον, καὶ ἀναπέμψας εἰς Ῥώμην. Ἐκεῖνος μὲν οὖν ἐν τῷ δεσμωτηρίῳ κατέστρεψε τὸν βίον· Περπέρναν δὲ νόσος διέφθειρε· Κράσσος δὲ περὶ Λεύκας ἐπιθεμένων τινῶν, ἔπεσεν ἐν μάχῃ. Μάνιος δὲ Ἀκύλλιος, ἐπελθὼν ὕπατος μετὰ δέκα πρεσβευτῶν, διέταξε τὴν ἐπαρχίαν εἰς τὸ νῦν ἔτι συμμένον τῆς πολιτείας σχῆμα. Μετὰ δὲ Λεύκας Φώκαια ἐν κόλπῳ. Περὶ δὲ ταύτης εἰρήκαμεν ἐν τῷ περὶ Μασσαλίας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λόγω. Εἶθ' οἱ ὅροι τῶν Ἰώνων καὶ τῶν Αἰολέων. Εἴρηται δὲ καὶ περὶ τούτων. Ἐν δὲ τῇ μεσογαίᾳ τῆς Ἰωνικῆς παραλίας λοιπά ἐστι τὰ περὶ τὴν ὁδὸν τὴν ἐξ Ἐφέσου μέχρι Ἀντιοχείας καὶ τοῦ Μαιάνδρου. Ἔστι δὲ καὶ τὰ χωρία ταῦτα Λυδοῖς καὶ Καρσὶν ἐπίμικτα καὶ τοῖς Ἕλλησιν.

---

## ΙΣΟΚΡΑΤΟΥΣ

# ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ

### ΠΕΡΙ ΤΟΥ ΒΑΣΙΛΕΥΕΙΝ, Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

---

Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, ὑμῖν τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν, ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλο τι τῶν τοιούτων κτημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς, οὐ δόσιν, ἀλλ' ἐμπορίαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων καπηλεύειν. Ἐγὼ δ' ἡγησάμην ἂν ταύτην καλλίστην γενέσθαι δωρεάν, καὶ χρησιμωτάτην, καὶ μάλιστα πρέπουσαν, ἐμοίτε δοῦναι, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι, ποίων ἐπιτηδευμάτων ὀρεγόμενος, καὶ τίνων ἔργων ἀπεχόμενος, ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης. Τοὺς μὲν γὰρ ἰδιώτας ἔστι πολλὰ τὰ παιδεύοντα, μάλιστα μὲν τὸ μὴ τρυφᾶν, ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν· ἔπειθ' οἱ νόμοι, καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν· ἔτι δ' ἡ παῤῥησία, καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις· πρὸς δὲ τούτοις, τινὲς καὶ τῶν ποιητῶν τῶν προγεγενημένων ὑποθήκας, ὡς χρὴ ζῆν καταλελοίπασιν, ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίγνεσθαι. Τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον· ἀλλ οὓς μᾶλλον ἔδει τῶν ἄλλων παιδεύεσθαι, ἐπειδὰν εἰς τὴν ἀρχὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

κατασταθῶσιν, ἀνουθέτητοι διατελοῦσιν. Οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν· οἱ δὲ συνόντες, πρὸς χάριν ὁμιλοῦσι. Καὶ γάρ τοι κύριοι γιγνόμενοι καὶ χρημάτων πλείστων, καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς, πεποιήκασιν ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι, τὸν βίον τὸν τῶν ἰδιωτευόντων μὲν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων. Ὅταν μὲν γὰρ ἀποβλέψωμεν εἰς τὰς τιμὰς, καὶ τοὺς πλούτους, καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντας νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας· ἐπειδὰν δὲ ἐνθυμηθῶσι τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ διεξιόντες εὕρωσι, τοὺς μὲν ὑφ' ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δὲ εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς δὲ ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται, λυσιτελεῖν μᾶλλον, ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν. Ταύτης δὲ τῆς ἀνωμαλίας καὶ τῆς ταραχῆς αἴτιόν ἐστιν, ὅτι τὴν βασιλείαν, ὥσπερ ἱερωσύνην, παντὸς ἀνδρὸς εἶναι νομίζουσιν, ὃ πάντων τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι, καὶ πλείστης προνοίας δεόμενον.

β'. Καθ' ἑκάστην μὲν οὖν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύγειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν· καθόλου δὲ, τῶν ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζεσθαι, καὶ περὶ ἃ δεῖ διατρίβειν, ἐγὼ πειράσομαι διελθεῖν. Εἰ μὲν οὖν ἔσται τὸ δῶρον, ἐξεργασθὲν, ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν· πολλὰ γὰρ καὶ τῶν ἐμμέτρων ποιημάτων, καὶ τῶν καταλογάδην συγγραμμάτων, ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συντιθέντων, μεγάλας τὰς προσδοκίας παρέσχεν· ἐπιτελεσθέντα δὲ, καὶ τοῖς ἄλλοις ἐπιδειχθέντα, πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν. Οὐ μὴν ἀλλὰ καὶ τό γε ἐγχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παραλελειμμένα, καὶ νομοθετεῖν ταῖς μοναρχίαις. Οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες, ἐκείνους μόνους ὠφελοῦσιν· εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐταῖς

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ὄντας· τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειεν.

γ΄. Πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων ἔργον ἐστίν· ἐὰν γὰρ τὸ κεφάλαιον καὶ τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς περιλάβωμεν, ἐνταῦθα ἀποβλέποντες, ἄμεινον καὶ περὶ τῶν ἄλλων μερῶν ἐροῦμεν. Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι, προσήκειν αὐτοῖς πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι· τὰ γὰρ ἄλλα τὰ καθ᾽ ἑκάστην ἡμέραν συμπίπτοντα, τούτων ἕνεκα πρακτέον ἐστί. Καὶ μὴν ἐκεῖνό γε φανερὸν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους, καὶ περὶ τηλικούτων βουλευσομένους, μὴ ῥᾳθυμεῖν, μηδ᾽ ἀμελεῖν, ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων. Δέδεικται γὰρ, ὅτι τοιαύτας ἕξουσι τὰς βασιλείας, οἵας περ ἂν τὰς αὐτῶν γνώμας παρασκευάσωσιν. Ὥςτε οὐδενὶ τῶν ἀθλητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν· ἅπασαι γὰρ αἱ πανηγύρεις οὐδὲν μέρος τιθέασι τούτων τῶν ἄθλων, ὑπὲρ ὧν ὑμεῖς καθ᾽ ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν.

δ΄. Ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. Καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ φρονιμωτέρους γίγνεσθαι μηδεμίαν ἔχειν δύναμιν· μηδὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πλείονος ἀξίας ποιοῦμεν· ἡμᾶς δ᾽ αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν· ἀλλ᾽, ὡς καὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμαλείας δυναμένης τὴν ἡμετέραν φύσιν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην· καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἀπόντων οὓς ἂν δύνῃ μεταπέμπου· καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων, μήτε τῶν σοφιστῶν μηδενὸς, οἴου δεῖν ἀπείρως ἔχειν· ἀλλὰ τῶν μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής· καὶ παρασκεύαζε σαυτὸν, τῶν μὲν ἐλασσόνων κριτὴν, τῶν δὲ μειζόνων ἀνταγωνιστήν· διὰ γὰρ τούτων τῶν γυμνασίων, τάχιστ᾽ ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύσοντα.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα. Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν· ὅσῳ γὰρ ἂν ἐῤῥωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σεαυτοῦ διάνοιαν ἀσκήσεις. Ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι ποιήσειν τῶν δεόντων.

ε'. Πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων, οὔτε κυνῶν οὔτε ἀνδρῶν, οὔτε ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἢν μή τις χαίρῃ τούτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. Μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γιγνώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν, αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύσωσι. Καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικηθήσονται· ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστί.

στ'. Τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα· καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα. Ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους· πρὸς δὲ τούτοις, οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις ὡς οἷόντε ταχίστας τοῖς πολίταις ποιήσουσι· ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις. Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς, προθύμως ἔχωσι. Τὰς κρίσεις ποιοῦ, περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν, μηδὲ ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταυτὰ περί γε τῶν αὐτῶν γίγνωσκε· καὶ γὰρ πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀμετακινήτως ἔχειν περὶ τῶν δικαίων, ὥςπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. Διοίκει τὴν πόλιν ὁμοίως, ὥςπερ τὸν πατρῷον οἶκον, ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

καὶ διαρκῆς. Τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἐν μηδεμιᾷ τῶν πολυτελειῶν τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε τοῖς προειρημένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις· τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τε σοὶ παραμενεῖ, καὶ τοῖς ἐπιγιγνομένοις πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις. Τὰ περὶ τοὺς θεοὺς ποίει μὲν, ὡς οἱ πρόγονοι κατέδειξαν· ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέχῃς· μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους, ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας, πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν.

ζ'. Τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν τοὺς οἰκειοτάτους, ταῖς δὲ ἀληθεστάταις τοὺς εὐνουστάτους. Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν· διὰ γὰρ τούτων καὶ κτᾶσθαι καὶ διασώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο. Κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τοὺς δαπανωμένους, ἀπὸ τῶν σῶν ἀναλίσκειν, καὶ τοὺς ἐργαζομένους, τὰ σὰ πλείω ποιεῖν· ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν, οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους. Ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε, καὶ πρὸς τὰ συμβόλαια νόμιμον· περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων μὴ τοὺς σοὶ δωρεὰς ἄγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους, μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. Τοὺς φόβους ἐξαιροῦ τῶν πολιτῶν, καὶ μὴ βούλου περιδεὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν· ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. Ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις ὅταν σοι καιρὸς ᾖ· καὶ δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι. Πολεμικὸς γίγνου ταῖς ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς,



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. Οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξειώσειας. Φιλονείκει μὴ περὶ ἁπάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλῃ συνοίσειν. Φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγιγνομένους. Μεγαλόφρονας εἶναι νόμιζε, μὴ τοὺς μείζω περιβαλλομένους, ὧν οἷοί τέ εἰσι κατασχεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους, οἷς ἂν ἐπιχειρῶσι. Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους· καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ' ἐάν, τοιοῦτος ὢν οἷον χρή, καὶ πράττων ὥςπερ ἐν τῷ παρόντι, μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς.

ή. Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας· μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις. Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς ὅτι πάντες οἱ μή σοι πλησιάζοντες, ὅμοιόν σε τοῖς χρωμένοις εἶναι νομιοῦσι. Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι. Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὅ, τι λέγῃς, ἢ ποιῇς, ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα, περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας. Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας· ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας, ὁποῖοί τινες εἰσί, καὶ περὶ ὧν ἂν λέγωσι. Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, αἷςπερ ἂν τοὺς ἐξαμαρτάνοντας. Ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν. Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου, μηδ' ἀλογίστως, ἀλλ' ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.

θ'. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι. Νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γιγνομένας, ἀλλ ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες, μᾶλλόν σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσι. Λάνθανε μὲν, ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως· ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι. Σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν, ἢ πλοῦτον μέγαν, τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητὸς, ἡ δὲ ἀθάνατος· καὶ δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρημάτων οὐκ ὠνητή· καὶ τὰ μὲν καὶ τοῖς φαύλοις ἐνίοτε παραγίγνεται, τὴν δὲ οὐχ οἷόν τε ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι. Τρύφα μὲν ἐν ταῖς ἐσθῆσι, καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δὲ ὡς χρὴ τοὺς βασιλέας ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασι· ἵνα οἱ μὲν ὁρῶντες, διὰ τὴν ὄψιν, ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες, διὰ τὴν τῆς ψυχῆς ῥώμην, τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν. Ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ, καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστους τοῖς ἁμαρτήμασι περιπίπτῃς. Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ, καὶ μὴ πλεονάζειν· αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν.

ί. Ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός· τὸ μὲν γὰρ τῇ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. Χαλεπώτατον δὲ τοῦτο πάντων ἐστὶ πραγμάτων· εὑρήσεις γὰρ ὡς ἐπὶ τὸ πολὺ, τοὺς μὲν σεμνυνομένους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι ταπεινοὺς φαινομένους. Δεῖ δὲ χρῆσθαι ἀμφοτέραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέραις προσοῦσαν διαφεύγειν. Ὅ, τι ἂν ἀκριβῶς εἰδέναι βούλῃ, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι, καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δούς σοι δείξει, τὸ δὲ ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. Θεώρει τὰ γιγνόμενα, καὶ τὰ συμπίπτοντα, καὶ τοῖς ἰδιώταις, καὶ τοῖς τυράννοις· ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ. Δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾷν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσι. Βοῦλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος, καταλιπεῖν. Μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σεαυτῷ, καὶ τῇ πόλει διαφυλάττειν· ἢν δὲ ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς. Ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας, καὶ φρόντιζε ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσεις.

ιά. Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν· ἀλλ' ἐπειδὴ θνητοῦ μὲν σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. Ἅττ' ἂν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. Ἃ τοῖς παισὶ τοῖς ἑαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. Χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων. Σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας· μηδὲ τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους, αὐτοὺς δὲ ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὐτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους.

ιβ'. Καὶ μὴ θαύμαζε, εἰ πολλὰ τῶν εἰρημένων ἐστίν, ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλ' ἠπιστάμην, ὅτι τοσούτων ὄντων τὸ πλῆθος καὶ τῶν ἰδιωτῶν καὶ τῶν ἀρχόντων, οἱ μέν τι τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόασιν, οἱ δὲ ἑτέρους ποιοῦντας ἑωράκασιν, ἔνια δὲ αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες. Ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

παράδοξον, οὔτε ἄπιστον, οὔτε ἔξω τῶν νομιζομένων οὐδέν ἐστιν εὑρεῖν· ἀλλ' ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ, καὶ φράσαι κάλλιστα περὶ αὐτῶν. Ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα, καὶ τῶν ποιημάτων, καὶ τῶν συγγραμμάτων, χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γε αὐτῶν ἀκούουσιν, ἀλλὰ ταὐτὸ πεπόνθασιν, ὅπερ πρὸς τοὺς νουθετοῦντας· καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες, πλησιάζειν δὲ οὐ βούλονται, ἀλλὰ μᾶλλον αἱροῦνται συνεῖναι τοῖς ἐξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσι. Σημεῖον δ' ἄν τις ποιήσαιτο, τὴν Ἡσιόδου καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν· καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες, αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον, ἢ ταῖς ἐκείνων ὑποθήκαις. Ἔτι δ' εἴ τις ἐκλέξειε καὶ τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστα ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν· ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν.

ιγ'. Καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ ἐθέλοιμεν σκοπεῖν τὰς φύσεις τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις, οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις, οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις, οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς εἶναι, καὶ φιλοπόνους, τοὺς τῶν δεόντων τι ποιοῦντας. Ὥστε πῶς ἄν τις τοῖς τοιούτοις ἢ παραινῶν, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἵ, πρὸς τοῖς εἰρημένοις λόγοις, φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας· οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥστε οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν, ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι, βούλοιντο δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. Εὕροι δ' ἄν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσί-

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

αις λοιδοροῦντας ἢ λοιδορουμένους. ἐν δὲ ταῖς ἐρημίαις οὐ βουλευομένους, ἀλλ' εὐχομένους. Λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. Ἐκεῖνο δ' οὖν φανερόν, ὅτι δεῖ τοὺς βουλομένους ἢ ποιεῖν ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους· ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας ψυχαγωγοῦνται. Διὸ καὶ τὴν Ὁμήρου ποίησιν, καὶ τοὺς πρώτους εὑρόντας τραγῳδίαν, ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. Ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν· ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν, ἀλλὰ καὶ θεατοὺς γεγενῆσθαι. Τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα δὲ γραπτέον καὶ λεκτέον οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας.

ιδ'. Ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν, οὐχ ἕνα τῶν πολλῶν, ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων, μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων, ταῖς ἡδοναῖς ἀνακρίνειν, ἀλλ' ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν· ἄλλως τε καὶ ἐπειδὴ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες, καὶ φασὶν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας, ἐκεῖνοι δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον, ἐξ ἑκάστου τούτων ἑλέσθαι (τὰ χρήσιμα). Χρὴ τοίνυν τὸν δυνάμενον βουλεύεσθαι, ἀφέμενον τῶν ἀμφισβητουμένων, ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα, λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας· εἰ δὲ μή, τοὺς καθόλου περὶ τῶν πραγμάτων λέγοντας, καὶ τοὺς μηδὲν γιγνώσκοντας τῶν δεόντων ἀποδοκιμάζειν· δῆλον γάρ, ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειε. Τοὺς δὲ νοῦν ἐχον-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τας, καὶ δυναμένους ὁρᾷν πλέον τι τῶν ἄλλων, περὶ πολλοῦ ποιοῦ, καὶ θεράπευε, γιγνώσκων, ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων κτημάτων ἐστίν. Ἡγοῦ δὲ τούτους σοι μεγίστην ποιήσειν τὴν βασιλείαν, οἵτινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν.

ιέ Ἐγὼ μὲν οὖν ἅ τε γιγνώσκω παρῄνεσα, καὶ τιμῶ σε τούτοις, οἷς τυγχάνω δυνάμενος. Βούλου δὲ καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος τοῦ λόγου, μὴ τὰς εἰθισμένας ἄγειν σοι δωρεὰς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων, ἢ τῶν πωλούντων, ἀλλὰ τοιαύτας, αἷς ἐὰν σφόδρα χρήσῃ, καὶ μηδεμίαν ἡμέραν διαλίπῃς, οὐ κατατρίψεις, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας αὐτὰς ποιήσεις.

---

## ΠΛΟΥΤΑΡΧΟΥ

# ΘΕΜΙΣΤΟΚΛΗΣ

---

Θεμιστοκλεῖ δὲ τὰ μὲν ἐκ γένους ἀμαυρότερα πρὸς δόξαν ὑπῆρχε· πατρὸς γὰρ ἦν Νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαρίου τὸν δῆμον ἐκ τῆς Λεοντίδος φυλῆς· νόθος δὲ πρὸς μητρὸς, ὡς λέγουσιν·

Ἀβρότονον Θρήϊσσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι
Τὸν μέγαν Ἕλλησιν φημὶ Θεμιστοκλέα.

Φανίας μέντοι τὴν μητέρα Θεμιστοκλέους, οὐ Θρᾷτταν, ἀλλὰ Καρίνην, οὐδ' Ἀβρότονον ὄνομα, ἀλλ' Εὐτέρπην ἀναγράφει. Νεάνθης δὲ καὶ πόλιν αὐτῇ τῆς Καρίας Ἁλικαρνασσὸν προστίθησι. Δι' ὃ καὶ τῶν νόθων εἰς Κυνόσαργες συντελούντων (τοῦτο δ' ἐστιν ἔξω πυλῶν γυμνάσιον Ἡρακλέους, ἐπεὶ κακεῖνος οὐκ ἦν γνήσιος ἐν Θεοῖς, ἀλλ' ἐνείχετο νοθείᾳ, διὰ τὴν μητέρα θνητὴν οὖσαν), ἔπειθε τινὰς ὁ Θεμιστοκλῆς τῶν εὖ γεγονότων νεανίσκων, καταβαίνοντας εἰς Κυνόσαργες ἀλείφεσθαι μετ' αὐτοῦ. Καὶ τούτου γενομένου, δοκεῖ πανούρ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

γως τὸν τῶν νόθων καὶ γνησίων διορισμὸν ἀνελεῖν. Ὅτι μέντοι τοῦ Λυκομηδῶν γένους μετεῖχε, δῆλόν ἐστι· τὸ γὰρ Φλυῆσι τελεστήριον, ὅπερ ἦν Λυκομηδῶν κοινὸν, ἐμπρησθὲν ὑπὸ τῶν βαρβάρων, αὐτὸς ἐπεσκεύασε καὶ γραφαῖς ἐκόσμησεν, ὡς Σιμωνίδης ἱστόρηκεν.

β'. Ἔτι δὲ παῖς ὢν, ὁμολογεῖται φορᾶς μεστὸς εἶναι, καὶ τῇ μὲν φύσει συνετὸς, τῇ προαιρέσει δὲ μεγαλοπράγμων καὶ πολιτικός. Ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων γενόμενος, οὐκ ἔπαιζεν, οὐδ' ἐρρᾳθύμει, καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγους τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτόν. Ἦσαν δ' οἱ λόγοι κατηγορία τινὸς, ἢ συνηγορία, τῶν παίδων. Ὅθεν εἰώθει λέγειν ὁ διδάσκαλος, ὡς οὐδὲν ἔσῃ παῖ σὺ μικρὸν, ἀλλὰ μέγα πάντως ἀγαθὸν, ἢ κακόν. Ἐπεὶ καὶ τῶν παιδεύσεων τὰς μὲν ἠθοποιοὺς, ἢ πρὸς ἡδονήν τινα καὶ χάριν ἐλευθέριον σπουδαζομένας, ὀκνηρῶς καὶ ἀπροθύμως ἐξεμάνθανε· τῶν δ' εἰς σύνεσιν, ἢ πρᾶξιν, λεγομένων, δῆλος ἦν οὐχ ὑπερορῶν παρ' ἡλικίαν, ὡς τῇ φύσει πιστεύων. Ὅθεν ὕστερον ἐν ταῖς ἐλευθέραις καὶ ἀστείαις λεγομέναις διατριβαῖς, ὑπὸ τῶν πεπαιδεῦσθαι δοκούντων χλευαζόμενος, ἠναγκάζετο φορτικώτερον ἀμύνεσθαι, λέγων, ὅτι λύραν μὲν ἁρμόσασθαι, καὶ μεταχειρίσασθαι ψαλτήριον οὐκ ἐπίσταται, πόλιν δὲ, μικρὰν καὶ ἄδοξον παραλαβὼν, ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι. Καίτοι Στησίμβροτος Ἀναξαγόρου τε διακοῦσαι τὸν Θεμιστοκλέα φησὶ, καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικὸν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος· Περικλεῖ γὰρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε. Μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς Μνησιφίλου τὸν Θεμιστοκλέα τοῦ Φρεαρίου ζηλωτὴν γενέσθαι λέγουσιν, οὔτε ῥήτορος ὄντος, οὔτε τῶν φυσικῶν κληθέντων φιλοσόφων, ἀλλὰ τὴν τότε καλουμένην σοφίαν, οὖσαν δὲ δεινότητα πολιτικὴν, καὶ δραστήριον σύνεσιν, ἐπιτήδευμα πεποιημένου, καὶ διασώζοντος ὥσπερ αἵρεσιν ἐκ διαδοχῆς ἀπὸ Σόλωνος· ἣν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες τέχναις, καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους, σοφισταὶ προσηγορεύθησαν. Τούτῳ μὲν οὖν ἤδη πολιτευόμενος ἐπλησίαζεν. Ἐν δὲ ταῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Βιβλιοθήκη Ναυπάκτου

πρώταις τῆς νεότητος ὁρμαῖς, ἀνώμαλος ἦν καὶ ἀστάθμητος, ἅτε τῇ φύσει καθ' αὑτὴν χρώμενος ἄνευ λόγου καὶ παιδείας ἐπ' ἀμφότερα μεγάλας ποιουμένῃ μεταβολὰς τῶν ἐπιτηδευμάτων, καὶ πολλάκις ἐξανισταμένῃ πρὸς τὸ χεῖρον, ὡς ὕστερον αὐτὸς ὡμολόγει, καὶ τοὺς τραχυτάτους πώλους ἀρίστους ἵππους γίνεσθαι φάσκων, ὅταν, ἧς προσήκει τύχωσι παιδείας καὶ καταρτύσεως. Ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγήματα πλάττοντες, ἀποκήρυξιν μὲν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον, ἐπὶ τῇ τοῦ παιδὸς ἀτιμίᾳ περιλύπου γενομένης, δοκεῖ κατεψεῦσθαι· καὶ τοὐναντίον εἰσὶν οἱ λέγοντες, ὅτι τοῦ τὰ κοινὰ πράττειν ἀποτρέπων αὐτὸν ὁ πατὴρ, ἐπεδείκνυε πρὸς τῇ θαλάττῃ τὰς παλαιὰς τριήρεις ἐῤῥιμμένας καὶ παρεωραμένας, ὡς δὴ καὶ πρὸς τοὺς δημαγωγοὺς, ὅταν ἄχρηστοι γένωνται, τῶν πολλῶν ὁμοίως ἐχόντων.

γ'. Ταχὺ μέντοι καὶ νεανικῶς ἔοικεν ἅψασθαι τοῦ Θεμιστοκλέους τὰ πολιτικὰ πράγματα, καὶ σφόδρα ἡ πρὸς δόξαν ὁρμὴ κρατῆσαι. Δι' ἣν εὐθὺς ἐξ ἀρχῆς πρωτεύειν ἐφιέμενος, ἰταμῶς ὑφίστατο τὰς πρὸς τοὺς δυναμένους ἐν τῇ πόλει καὶ πρωτεύοντας ἀπεχθείας, μάλιστα δ' Ἀριστείδην τὸν Λυσιμάχου, τὴν ἐναντίαν ἀεὶ πορευόμενον αὐτῷ. Καίτοι δοκεῖ παντάπασιν ἡ πρὸς τοῦτον ἔχθρα μειρακιώδη λαβεῖν ἀρχήν· ἠράσθησαν γὰρ ἀμφότεροι τοῦ καλοῦ Στησίλεω, Τηΐου τὸ γένος ὄντος, ὡς Ἀρίστων ὁ φιλόσοφος ἱστόρηκεν· ἐκ δὲ τούτου διετέλουν καὶ περὶ τὰ δημόσια στασιάζοντες. Οὐ μὴν ἀλλ' ἡ τῶν βίων καὶ ἡ τῶν τρόπων ἀνομοιότης ἔοικεν αὐξῆσαι τὴν διαφοράν. Πρᾶος γὰρ ὢν φύσει καὶ καλοκαγαθικὸς τὸν τρόπον ὁ Ἀριστείδης, καὶ πολιτευόμενος οὐ πρὸς χάριν, οὐδὲ πρὸς δόξαν, ἀλλ' ἀπὸ τοῦ βελτίστου μετ' ἀσφαλείας καὶ δικαιοσύνης, ἠναγκάζετο τῷ Θεμιστοκλεῖ, τὸν δῆμον ἐπὶ πολλὰ κινοῦντι, καὶ μεγάλας ἐπιφέροντι καινοτομίας, ἐναντιοῦσθαι πολλάκις, ἐνιστάμενος αὐτοῦ πρὸς τὴν αὔξησιν. Λέγεται γὰρ οὕτω παράφορος πρὸς δόξαν εἶναι, καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστὴς, ὥστε, νέος ὢν ἔτι, τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης, καὶ τῆς Μιλτιάδου στρατηγίας διαβοηθείσης, σύννους ὁρᾶσθαι τὰ πολλὰ πρὸς ἑαυτῷ, καὶ τὰς νύκτας ἀγρυπνεῖν, καὶ τοὺς πότους παραιτεῖσθαι τοὺς συνήθεις, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ τοῦ Μιλτιάδου τρόπαιον. Οἱ μὲν γὰρ ἄλλοι πέρας ᾤοντο τοῦ πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δὲ ἀρχὴν μειζόνων ἀγώνων, ἐφ' οὓς ἑαυτὸν ὑπὲρ τῆς ὅλης Ἑλλάδος ἤλειφεν ἀεί, καὶ τὴν πόλιν ἤσκει, πόῤῥωθεν ἤδη προσδοκῶν τὸ μέλλον.

δ'. Καὶ πρῶτον μὲν τὴν Λαυριωτικὴν πρόσοδον ἀπὸ τῶν ἀργυρείων μετάλλων ἔθος ἐχόντων Ἀθηναίων διανέμεσθαι, μόνος εἰπεῖν ἐτόλμησε παρελθὼν εἰς τὸν δῆμον, ὡς χρή, τὴν διανομὴν ἐάσαντας, ἐκ τῶν χρημάτων τούτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς Αἰγινήτας πόλεμον· ἤκμαζε γὰρ οὗτος ἐν τῇ Ἑλλάδι μάλιστα, καὶ κατεῖχον οἱ Αἰγινῆται πλήθει νεῶν τὴν θάλασσαν. Ἧι καὶ ῥᾷον Θεμιστοκλῆς συνέπεισεν, οὐ Δαρεῖον, οὐδὲ Πέρσας (μακρὰν γὰρ ἦσαν οὗτοι, καὶ δέος οὐ πάνυ βέβαιον ὡς ἀφιξόμενοι παρεῖχον) ἐπισείων, ἀλλὰ τῇ πρὸς Αἰγινήτας ὀργῇ καὶ φιλονεικίᾳ τῶν πολιτῶν ἀποχρησάμενος εὐκαίρως ἐπὶ τὴν παρασκευήν. Ἑκατὸν γὰρ ἀπὸ τῶν χρημάτων ἐκείνων ἐποιήθησαν τριήρεις, αἳ καὶ πρὸς Ξέρξην ἐναυμάχησαν. Ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων καὶ καταβιβάζων τὴν πόλιν πρὸς τὴν θάλασσαν, ὡς τὰ πεζὰ μὲν οὐδὲ τοῖς ὁμόροις ἀξιομάχους ὄντας, τῇ δ' ἀπὸ τῶν νεῶν ἀλκῇ καὶ τοὺς βαρβάρους ἀμύνασθαι, καὶ τῆς Ἑλλάδος ἄρχειν δυναμένους, ἀντὶ μονίμων ὁπλιτῶν, ὥς φησι Πλάτων, ναυβάτας καὶ θαλαττίους ἐποίησε· καὶ διαβολὴν κατ' αὐτοῦ παρέσχεν, ὡς ἄρα Θεμιστοκλῆς τὸ δόρυ καὶ τὴν ἀσπίδα τῶν πολιτῶν παρελόμενος, εἰς ὑπηρεσίαν καὶ κώπην συνέστειλε τὸν τῶν Ἀθηναίων δῆμον. Ἔπραξε δὲ ταῦτα Μιλτιάδου κρατήσας ἀντιλέγοντος, ὡς ἱστορεῖ Στησίμβροτος. Εἰ μὲν δὴ τὴν ἀκρίβειαν καὶ τὸ καθαρὸν τοῦ πολιτεύματος ἔβλαψεν, ἢ μή, ταῦτα πράξας, ἔστω φιλοσοφώτερον ἐπισκοπεῖν. Ὅτι δ' ἡ τότε σωτηρία τοῖς Ἕλλησιν ἐκ τῆς θαλάσσης ὑπῆρξε, καὶ τὴν Ἀθηναίων πόλιν αὖθις ἀνέστησαν αἱ τριήρεις ἐκεῖναι, τά τ' ἄλλα, καὶ Ξέρξης αὐτὸς ἐμαρτύρησε. Τῆς γὰρ πεζικῆς δυνάμεως ἀθραύστου διαμενούσης, ἔφυγε μετὰ τὴν τῶν νεῶν ἧτταν, ὡς οὐκ ὢν ἀξιόμαχος. Καὶ Μαρδόνιον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἐμποδὼν εἶναι τοῖς Ἕλλησι τῆς διώξεως μᾶλλον, ἢ δουλωσόμενον αὐτούς, ὡς ἐμοὶ δοκεῖ, κατέλιπεν.

ε΄. Ἔντονον δὲ γεγονέναι χρηματιστὴν οἱ μέν φασι δι' ἐλευθεριότητα· καὶ γὰρ φιλοθύτην ὄντα καὶ λαμπρὸν ἐν ταῖς περὶ τοὺς ξένους δαπάναις, ἀφθόνου δεῖσθαι χορηγίας. Οἱ δὲ τοὐναντίον γλισχρότητα πολλὴν καὶ μικρολογίαν κατηγοροῦσιν, ὡς καὶ τὰ πεμπόμενα τῶν ἐδωδίμων πωλοῦντος. Ἐπεὶ δὲ Φιλίδης ὁ ἱπποτρόφος αἰτηθεὶς ὑπ' αὐτοῦ πῶλον οὐκ ἔδωκεν, ἠπείλησε τὸν οἶκον αὐτοῦ ταχὺ ποιήσειν Δούρειον ἵππον· αἰνιξάμενος ἐγκλήματα συγγενικὰ καὶ δίκας τῷ ἀνθρώπῳ πρὸς οἰκείους τινὰς ταράξειν. Τῇ δὲ φιλοτιμίᾳ πάντας ὑπερέβαλεν, ὥστ' ἔτι μὲν νέος ὢν καὶ ἀφανής, Ἐπικλέα τὸν ἐξ Ἑρμιόνης, κιθαριστήν, σπουδαζόμενον ὑπὸ τῶν Ἀθηναίων, ἐκλιπαρῆσαι μελετᾷν παρ' αὐτῷ, φιλοτιμούμενος πολλοὺς τὴν οἰκίαν ζητεῖν καὶ φοιτᾷν παρ' αὐτῷ. Εἰς δὲ Ὀλυμπίαν ἐλθών, καὶ διαμιλλώμενος τῷ Κίμωνι περὶ δεῖπνα καὶ σκηνάς, καὶ τὴν ἄλλην λαμπρότητα καὶ παρασκευήν, οὐκ ἤρεσκε τοῖς Ἕλλησιν. Ἐκείνῳ μὲν γὰρ ὄντι νέῳ καὶ ἀπ' οἰκίας μεγάλης ᾤοντο δεῖν τὰ τοιαῦτα συγχωρεῖν· ὁ δὲ μήπω γνώριμος γεγονώς, ἀλλὰ καὶ δοκῶν ἐξ οὐχ ὑπαρχόντων παρ' ἀξίαν ἐπαίρεσθαι, προσωφλίσκανεν ἀλαζονείαν. Ἐνίκησε δὲ καὶ χορηγῶν τραγῳδοῖς, μεγάλην ἤδη τότε σπουδὴν καὶ φιλοτιμίαν τοῦ ἀγῶνος ἔχοντος. Καὶ πίνακα τῆς νίκης ἀνέθηκε, τοιαύτην ἐπιγραφὴν ἔχοντα· „Θεμιστοκλῆς Φρεάριος ἐχορήγει, Φρύνιχος ἐδίδασκεν, Ἀδείμαντος ἦρχεν.“ Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς ἐνήρμοττε, τοῦτο μὲν ἑκάστου τῶν πολιτῶν τοὔνομα λέγων ἀπὸ στόματος, τοῦτο δὲ κριτὴν ἀσφαλῆ περὶ τὰ συμβόλαια παρέχων ἑαυτόν· ὥστε που καὶ πρὸς Σιμωνίδην τὸν Κεῖον εἰπεῖν, αἰτούμενόν τι τῶν οὐ μετρίων παρ' αὐτοῦ στρατηγοῦντος, ὡς οὔτ' ἐκεῖνος ἂν ἐγένετο ποιητὴς ἀγαθὸς ᾄδων παρὰ μέλος, οὔτ' αὐτὸς ἀστεῖος ἄρχων παρὰ νόμον χαριζόμενος. Πάλιν δέ ποτε τὸν Σιμωνίδην ἐπισκώπτων ἔλεγε νοῦν οὐκ ἔχειν, Κορινθίους μὲν λοιδοροῦντα μεγάλην οἰκοῦντας πόλιν, αὐτοῦ δὲ ποιούμενον εἰκόνας, οὕτως ὄντος αἰσχροῦ τὴν ὄψιν. Αὐξόμενος δέ, καὶ τοῖς πολλοῖς ἀρέσκων, τέλος κατεστασίασε καὶ μετέστησεν ἐξο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

στρακισθέντα τὸν Ἀριστείδην.

στ'. Ἤδη δὲ τοῦ Μήδου καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα, καὶ τῶν Ἀθηναίων βουλευομένων περὶ στρατηγοῦ, τοὺς μὲν ἄλλους ἑκόντας ἐκστῆναι τῆς στρατηγίας λέγουσιν, ἐκπεπληγμένους τὸν κίνδυνον· Ἐπικύδην δὲ τὸν Εὐφημίδου, δημαγωγὸν ὄντα δεινὸν μὲν εἰπεῖν, μαλακὸν δὲ τὴν ψυχὴν, καὶ χρημάτων ἥττονα, τῆς ἀρχῆς ἐφίεσθαι, καὶ κρατήσειν ἐπίδοξον εἶναι τῇ χειροτονίᾳ. Τὸν οὖν Θεμιστοκλέα, δείσαντα, μὴ τὰ πράγματα διαφθαρείη παντάπασι, τῆς ἡγεμονίας εἰς ἐκεῖνον ἐμπεσούσης, χρήμασι τὴν φιλοτιμίαν ἐξωνήσασθαι παρὰ τοῦ Ἐπικύδους. Ἐπαινεῖται δ' αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωσσον ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν. Ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος ἀπέκτεινεν, ὅτι φωνὴν Ἑλληνίδα βαρβάροις προστάγμασιν ἐτόλμησε χρῆσαι. Ἔτι δὲ καὶ τὸ περὶ Ἄρθμιον τὸν Ζελείτην· Θεμιστοκλέους γὰρ εἰπόντος, καὶ τοῦτον εἰς τοὺς ἀτίμους, καὶ παῖδας αὐτοῦ καὶ γένος ἐνέγραψαν, ὅτι τὸν ἐκ Μήδων χρυσὸν εἰς τους Ἕλληνας ἐκόμισε. Μέγιστον δὲ πάντων, τὸ καταλῦσαι τοὺς Ἑλληνικοὺς πολέμους, καὶ διαλλάξαι τὰς πόλεις ἀλλήλαις, πείσαντα τὰς ἔχθρας διὰ τὸν πόλεμον ἀναβαλέσθαι· πρὸς ὃ καὶ Χείλεων τὸν Ἀρκάδα μάλιστα συναγωνίσασθαι λέγουσι.

ζ'. Παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις, καὶ τὴν πόλιν ἔπεισεν ἐκλιπόντας, ὡς προσωτάτω τῆς Ἑλλάδος ἀπαντᾷν τῷ βαρβάρῳ κατὰ θάλασσαν. Ἐνισταμένων δὲ πολλῶν, ἐξήγαγε πολλὴν στρατιὰν εἰς τὰ Τέμπη μετὰ Λακεδαιμονίων, ὡς αὐτόθι προκινδυνεύσων τῆς Θετταλίας, οὔπω τότε μηδίζειν δοκούσης· ἐπεὶ δ' ἀνεχώρησαν ἐκεῖθεν ἄπρακτοι, καὶ Θετταλῶν βασιλεῖ προσγενομένων, ἐμήδιζε τὰ μέχρι Βοιωτίας, μᾶλλον ἤδη τῷ Θεμιστοκλεῖ προσεῖχον οἱ Ἀθηναῖοι περὶ τῆς θαλάσσης, καὶ πέμπεται μετὰ νεῶν ἐπ' Ἀρτεμίσιον τὰ στενὰ φυλάξων. Ἔνθα δὴ τῶν μὲν Ἑλλήνων Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι κελευόντων, τῶν δὲ Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς, αὐτός τε τὴν ἀρχὴν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Εὐρυβιάδῃ παρῆκε, καὶ κατεπράϋνε τοὺς Ἀθηναίους, ὑπισχνούμενος· ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνας. Δι' ὅπερ δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ Ἑλλάδι, καὶ μάλιστα τοὺς Ἀθηναίους προαγαγεῖν εἰς δόξαν, ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους. Ἐπεὶ δὲ ταῖς Ἀφέταις τοῦ βαρβαρικοῦ στόλου προσμίξαντος, ἐκπλαγεὶς Εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν τὸ πλῆθος, ἄλλας δὲ πυνθανόμενος διακοσίας ὑπὲρ Σκιάθου κύκλῳ περιπλεῖν, ἐβούλετο τὴν ταχίστην εἴσω τῆς Ἑλλάδος κομισθεὶς ἅψασθαι Πελοποννήσου, καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσπεριβαλέσθαι, παντάπασιν ἀπρόσμαχον ἡγούμενος τὴν κατὰ θάλατταν ἀλκὴν βασιλέως, δείσαντες οἱ Εὐβοεῖς, μὴ σφᾶς οἱ Ἕλληνες πρόωνται, κρύφα τῷ Θεμιστοκλεῖ διελέγοντο, Πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες. Ἃ λαβὼν ἐκεῖνος, ὡς Ἡρόδοτος ἱστόρηκε, τοῖς περὶ τὸν Εὐρυβιάδην ἔδωκεν. Ἐναντιουμένου δὲ αὐτῷ μάλιστα τῶν πολιτῶν Ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς ἱερᾶς νεὼς τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις χορηγεῖν, ἔσπευδεν ἀποπλεῦσαι, παρώξυνεν ἔτι μᾶλλον ὁ Θεμιστοκλῆς τοὺς πολίτας ἐπ' αὐτὸν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. Τοῦ δ' Ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος, εἰσέπεμψε Θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ δεῖπνον ἄρτων καὶ κρεῶν, ὑποθεὶς κάτω τάλαντον ἀργυρίου, καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι, καὶ μεθ' ἡμέραν ἐπιμεληθῆναι τῶν τριηριτῶν· εἰ δὲ μὴ, καταβοήσειν αὐτοῦ πρὸς τοὺς πολίτας, ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων. Ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος εἴρηκεν.

η΄. Αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς περὶ τὰ στενὰ μάχαι, κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ἐποίησαν, τῇ δὲ πείρᾳ μάλιστα τοὺς Ἕλληνας ὤνησαν, ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους διδαχθέντας, ὡς οὔτε πλήθη νεῶν, οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων, οὔτε κραυγαὶ κομπώδεις, ἢ βάρβαροι παιᾶνες, ἔχουσί τι δεινὸν ἀνδράσιν ἐπισταμένοις εἰς χεῖρας ἰέναι, καὶ μάχεσθαι τολμῶσιν· ἀλλὰ δεῖ τῶν τοιούτων καταφρονοῦντας, ἐπ' αὐ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τὰ τὰ σώματα φέρεσθαι, καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. Ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδών, ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν,

...... Ὅθι παῖδες Ἀθηναίων ἐβάλοντο φαεννὰν
κρηπῖδ' ἐλευθερίας·

ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν, τὸ θαῤῥεῖν. Ἔστι δὲ τῆς Εὐβοίας τὸ Ἀρτεμίσιον ὑπὲρ τὴν Ἑστιαίαν αἰγιαλὸς εἰς βορέαν ἀναπεπταμένος· ἀντιτείνει δὲ αὐτῷ μάλιστα τῆς ὑπὸ Φιλοκτήτη χώρας γενομένης Ὀλιζών. Ἔχει δὲ ναὸν οὐ μέγαν Ἀρτέμιδος ἐπίκλησιν Προσηῴας, καὶ δένδρα περὶ αὐτὸν πέφυκε, καὶ στῆλαι κύκλῳ λίθου λευκοῦ πεπήγασιν· ὁ δὲ λίθος τῇ χειρὶ τριβόμενος, καὶ χρόαν καὶ ὀσμὴν κροκίζουσαν ἀναδίδωσιν. Ἐν μιᾷ δὲ τῶν στηλῶν ἐλεγεῖον ἦν τόδε γεγραμμένον·

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
Παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
Ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
Σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

Δείκνυται δὲ τῆς ἀκτῆς τόπος ἐν πολλῇ τῇ πέριξ θινὶ κόνιν τεφρώδη καὶ μέλαιναν ἐκ βάθους ἀναδιδοὺς, ὥσπερ πυρίκαυτον, ἐν ᾧ τὰ ναυάγια καὶ τοὺς νεκροὺς καῦσαι δοκοῦσι.

θ'. Τῶν μέντοι περὶ Θερμοπύλας εἰς τὸ Ἀρτεμίσιον ἀπαγγελθέντων, πυθόμενοι Λεωνίδαν τε κεῖσθαι, καὶ κρατεῖν Ξέρξην τῶν κατὰ γῆν παρόδων, εἴσω τῆς Ἑλλάδος ἀνεκομίζοντο, τῶν Ἀθηναίων ἐπὶ πᾶσι τεταγμένων, καὶ δι' ἀρετὴν μέγα τοῖς πεπραγμένοις φρονούντων. Παραπλέων δὲ τὴν χώραν ὁ Θεμιστοκλῆς, ᾗ κατάρσεις ἀναγκαίας καὶ καταφυγὰς ἑώρα τοῖς πολεμίοις, ἐνεχάραττε κατὰ τῶν λίθων ἐπιφανῆ γράμματα, τοὺς μὲν εὑρίσκων ἀπὸ τύχης, τοὺς δὲ αὐτὸς ἱστὰς περὶ τὰ ναύλοχα καὶ τὰς ὑδρείας· ἐπισκήπτων Ἴωσι διὰ γραμμάτων, εἰ μὲν οἷόν τε, μετατάξασθαι πρὸς αὐτοὺς, πατέρας ὄντας καὶ προκινδυνεύοντας ὑπὲρ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τῆς ἐκείνων ἐλευθερίας, εἰ δὲ μή, κακοῦν τὸ βαρβαρικὸν ἐν ταῖς μάχαις καὶ συνταράττειν. Ταῦτα δ' ἤλπιζεν ἢ μεταστήσειν τοὺς Ἴωνας, ἢ ταράξειν, ὑπόπτους τοῖς βαρβάροις γενομένους. Ξέρξου δὲ διὰ τῆς Δωρίδος ἄνωθεν ἐμβαλόντος εἰς τὴν Φωκίδα, καὶ τὰ τῶν Φωκέων ἄστη πυρπολοῦντος, οὐ προσήμυνον οἱ Ἕλληνες, καίπερ τῶν Ἀθηναίων δεομένων εἰς τὴν Βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς Ἀττικῆς, ὥσπερ αὐτοὶ κατὰ θάλασσαν ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν. Μηδενὸς δ' ὑπακούοντος αὐτοῖς, ἀλλὰ τῆς Πελοποννήσου περιεχομένων, καὶ πᾶσαν ἐντὸς Ἰσθμοῦ τὴν δύναμιν ὡρμημένων συνάγειν, καὶ διατειχιζόντων τὸν Ἰσθμὸν εἰς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδοσίας εἶχε τοὺς Ἀθηναίους, ἅμα δὲ δυσθυμία καὶ κατήφεια μεμονωμένους. Μάχεσθαι μὲν γὰρ οὐ διενοοῦντο μυριάσι στρατοῦ τοσαύταις· ὃ δ' ἦν μόνον ἀναγκαῖον ἐν τῷ παρόντι, τὴν πόλιν ἀφέντας, ἐμβῆναι ταῖς ναυσὶν· ὅπερ οἱ πολλοὶ χαλεπῶς ἤκουον, ὡς μήτε νίκης δεόμενοι, μήτε σωτηρίαν ἐπιστάμενοι Θεῶν τε ἱερὰ καὶ πατέρων ἠρία προϊεμένων.

ι'. Ἔνθα δὴ Θεμιστοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις λογισμοῖς προσάγεσθαι τὸ πλῆθος, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν ἄρας, σημεῖα δαιμόνια καὶ χρησμοὺς ἐπῆγεν αὐτοῖς· σημεῖον μὲν λαμβάνων τὸ τοῦ δράκοντος, ὃς ἀφανὴς ἐκείναις ταῖς ἡμέραις ἐκ τοῦ σηκοῦ δοκεῖ γενέσθαι· καὶ τὰς καθ' ἡμέραν αὐτῷ προτιθεμένας ἀπαρχὰς εὑρίσκοντες ἀψαύστους οἱ ἱερεῖς, ἐξήγγελλον εἰς τοὺς πολλούς, Θεμιστοκλέους λόγον διδόντος, ὡς ἀπολέλοιπε τὴν πόλιν ἡ Θεὸς ὑφηγουμένη πρὸς τὴν θάλατταν αὐτοῖς. Τῷ δὲ χρησμῷ πάλιν ἐδημαγώγει, λέγων μηδὲν ἄλλο δηλοῦσθαι ξύλινον τεῖχος, ἢ τὰς ναῦς· διὸ καὶ τὴν Σαλαμῖνα θείαν, οὐχὶ δειλήν, οὐδὲ σχετλίαν, καλεῖν τὸν Θεόν, ὡς εὐτυχήματος μεγάλου τοῖς Ἕλλησιν ἐπώνυμον ἐσομένην. Κρατήσας δὲ τῇ γνώμῃ, ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηναίων μεδεούσῃ, τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν. Κυρωθέντος δὲ τοῦ ψηφίσματος, οἱ πλεῖστοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων. Καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ, δύο ὀβολοὺς ἑκάστῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς. Τὸ δὲ ψήφισμα Νικαγόρας ἔγραψεν. Οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις, Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου πάγου βουλὴν πορίσασαν ἑκάστῳ τῶν στρατευομένων ὀκτὼ δραχμάς, αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις. Κλείδημος δὲ καὶ τοῦτο Θεμιστοκλέους ποιεῖται στρατήγημα. Καταβαινόντων γὰρ εἰς Πειραιᾶ τῶν Ἀθηναίων φησὶν ἀπολέσθαι τὸ Γοργόνειον ἀπὸ τῆς Θεοῦ τοῦ ἀγάλματος. Τὸν οὖν Θεμιστοκλέα προσποιούμενον ζητεῖν, καὶ διερευνώμενον ἅπαντα, χρημάτων εὑρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς ἀποκεκρυμμένων· ὧν εἰς μέσον κομισθέντων, εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων. Ἐκπλεούσης δὲ τῆς πόλεως, τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε, γονέας μὲν ἄλλη προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γυναικῶν, καὶ (τέκνων) περιβολάς, διαπερώντων εἰς τὴν νῆσον. Καίτοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανόμενοι τῶν πολιτῶν ἔλεον εἶχον· ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν. Ἐν οἷς ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρός, οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν, ἐναλέσθαι τῇ θαλάττῃ, καὶ τῇ τριήρει παρανηχόμενος, ἐμπεσεῖν εἰς τὴν Σαλαμῖνα, καὶ λειποθυμήσας ἀποθανεῖν εὐθύς· οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν, καὶ καλούμενον Κυνὸς σῆμα, τάφον εἶναι λέγουσι.

ια'. Ταῦτα δὴ μεγάλα τοῦ Θεμιστοκλέους· (ὃς) καὶ τοὺς πολίτας αἰσθόμενος ποθοῦντας Ἀριστείδην, καὶ δεδιότας, μὴ δι' ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτόν, ἀνατρέψῃ τὰ πράγματα τῆς Ἑλλάδος (ἐξωστράκιστο γὰρ πρὸ τοῦ πολέμου καταστασιασθεὶς ἀπὸ Θεμιστοκλέους), γράφει ψήφισμα, τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν ἐξεῖναι κατελθοῦσι πράττειν καὶ λέγειν τὰ βέλτιστα τῇ Ἑλλάδι μετὰ τῶν ἄλλων πολιτῶν. Εὐρυβιάδου δὲ τὴν μὲν ἡγεμονίαν τῶν νεῶν ἔχοντος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

διὰ τὸ τῆς Σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν δὲ βουλομένου καὶ πλεῖν ἐπὶ τὸν Ἰσθμὸν, ὅπου καὶ τὸ πεζὸν ἤθροιστο τῶν Πελοποννησίων, ὁ Θεμιστοκλῆς ἀντέλεγεν. Ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναί φασι. Τοῦ γὰρ Εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος· Ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι· Ναὶ, εἶπεν ὁ Θεμιστοκλῆς, ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν. Ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος, ὁ Θεμιστοκλῆς ἔφη· Πάταξον μὲν, ἄκουσον δέ. Θαυμάσαντος δὲ τὴν πρᾳότητα τοῦ Εὐρυβιάδου, καὶ λέγειν κελεύσαντος, ὁ μὲν Θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον. Εἰπόντος δέ τινος, ὡς ἀνὴρ ἄπολις οὐκ ὀρθῶς διδάσκει τοὺς ἔχοντας ἐγκαταλιπεῖν καὶ προέσθαι τὰς πατρίδας, ὁ Θεμιστοκλῆς ἐπιστρέψας τὸν λόγον· Ἡμεῖς τοι, εἶπεν ὦ μοχθηρὲ, τὰς μὲν οἰκίας καὶ τὰ τείχη καταλελοίπαμεν, οὐκ ἀξιοῦντες ἀψύχων ἕνεκα δουλεύειν· πόλις δ' ἡμῖν ἐστι μεγίστη τῶν Ἑλληνίδων, αἱ διακόσιαι τριήρεις, αἳ νῦν ἡμῖν παρεστᾶσι βοηθοὶ σώζεσθαι δι' αὐτῶν βουλομένοις. Εἰ δ' ἄπιτε δεύτερον ἡμᾶς προδόντες, αὐτίκα πεύσεταί τις Ἑλλήνων Ἀθηναίους, καὶ πόλιν ἐλευθέραν, καὶ χώραν οὐ χείρονα κεκτημένους, ἧς ἀπέβαλον. Ταῦτα τοῦ Θεμιστοκλέους εἰπόντος, ἔννοια καὶ δέος ἔσχε τὸν Εὐρυβιάδην τῶν Ἀθηναίων, μὴ σφᾶς ἀπολιπόντες οἴχωνται. Τοῦ δ' Ἐρετριέως πειρωμένου λέγειν τι πρὸς αὐτόν. Ἦ γὰρ, ἔφη, καὶ ὑμῖν περὶ πολέμου τίς ἐστι λόγος, οἳ, καθάπερ αἱ τευθίδες, μάχαιραν μὲν ἔχετε, καρδίαν δὲ οὐκ ἔχετε;

ιβ'. Λέγεται δ' ὑπό τινων, τὸν μὲν Θεμιστοκλέα περὶ τούτων ἀπὸ τοῦ καταστρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι, γλαῦκα δ' ὀφθῆναι διαπετομένην ἐπὶ τὰ δεξιὰ τῶν νεῶν, καὶ τοῖς καρχησίοις ἐπικαθίζουσαν· δι' ὃ δὴ καὶ μάλιστα προσέθεντο τῇ γνώμῃ, καὶ παρεσκευάζοντο ναυμαχήσοντες. Ἀλλ' ἐπεὶ τῶν πολεμίων ὁ στόλος, τῇ Ἀττικῇ κατὰ τὸ Φαληρικὸν προσφερόμενος, τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλοὺς, αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ τὴν θάλατταν ἀθρόους ὤφθη, τῶν δυνάμεων ὁμοῦ γενομένων, ἐξερρύησαν οἱ τοῦ Θεμιστοκλέους λόγοι τῶν Ἑλλήνων, καὶ πάλιν ἐπάπταινον οἱ Πελοποννήσιοι πρὸς τὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Ἰσθμόν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες. Ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν, καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις. Ἔνθα δὴ βαρέως φέρων ὁ Θεμιστοκλῆς, εἰ τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν στενῶν προέμενοι βοήθειαν οἱ Ἕλληνες διαλυθήσονται κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετίθει τὴν περὶ τὸν Σίκινον πραγματείαν. Ἦν δὲ τῷ γένει Πέρσης ὁ Σίκινος αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ, καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. Ὃν ἐκπέμπει πρὸς τὸν Πέρσην κρύφα, κελεύσας λέγειν, ὅτι Θεμιστοκλῆς, ὁ τῶν Ἀθηναίων στρατηγὸς, αἱρούμενος τὰ βασιλέως, ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς Ἕλληνας ἀποδιδράσκοντας, καὶ διακελεύεται μὴ παρεῖναι φυγεῖν αὐτοῖς, ἀλλ' ἐν ᾧ ταράσσονται τῶν πεζῶν χωρὶς ὄντες, ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. Ταῦτα δ' ὁ Ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος, ἥσθη, καὶ τέλος εὐθὺς ἐξέφερε πρὸς τοὺς ἡγεμόνας τῶν νεῶν, τὰς μὲν ἄλλας πληροῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη περιβαλέσθαι τὸν πόρον ἐν κύκλῳ πάντα, καὶ διαζῶσαι τὰς νήσους, ὅπως ἐκφύγῃ μηδεὶς τῶν πολεμίων. Τούτων δὲ πραττομένων, Ἀριστείδης ὁ Λυσιμάχου πρῶτος αἰσθόμενος ἧκεν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους, οὐκ ὢν φίλος, ἀλλὰ καὶ δι' ἐκεῖνον ἐξωστρακισμένος, ὥσπερ εἴρηται, προελθόντι δὲ τῷ Θεμιστοκλεῖ φράζει τὴν κύκλωσιν. Ὁ δὲ, τήν τ' ἄλλην καλοκαγαθίαν τοῦ ἀνδρὸς εἰδὼς, καὶ τῆς τότε παρουσίας ἀγάμενος, φράζει τὰ περὶ τὸν Σίκινον αὐτῷ, καὶ παρεκάλει τῶν Ἑλλήνων συνεπιλαμβάνεσθαι καὶ συμπροθυμεῖσθαι, πίστιν ἔχοντα μᾶλλον, ὅπως ἐν τοῖς στενοῖς ναυμαχήσωσιν. Ὁ μὲν οὖν Ἀριστείδης, ἐπαινέσας τὸν Θεμιστοκλέα, τοὺς ἄλλους ἐπῄει στρατηγοὺς καὶ τριηράρχους ἐπὶ τὴν μάχην παροξύνων. Ἔτι δ' ὅμως ἀπιστούντων, ἐφάνη Τηνία τριήρης αὐτόμολος, ἧς ἐναυάρχει Παναίτιος, ἀπαγγέλλουσα κύκλωσιν· ὥστε καὶ θυμῷ τοὺς Ἕλληνας κινῆσαι μετ' ἀνάγκης πρὸς τὸν κίνδυνον.

ιγ'. Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος· ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος, ὑπὲρ τῶν καλουμένων Κεράτων, χρυσοῦν δίφρον θέμενος, καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

γραμματεῖς πολλοὺς παραστησάμενος, ὧν ἔργον ἦν ἀπογράφεσθαι κατὰ (τὴν) μάχην τὰ πραττόμενα. Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυμαχίδα τριήρη σφαγιαζομένῳ τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. Ἐλέγοντο δὲ Σανδάκης παῖδες εἶναι, τῆς βασιλέως ἀδελφῆς, καὶ Ἀρταΰκτου. Τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ τῶν δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα δεξιωσάμενος, ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι, καὶ καθιερῶσαι πάντας ὠμηστῇ Διονύσῳ προσευξάμενον· οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. Ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινὸν οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων, ἢ τῶν εὐλόγων, τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοί, τὸν Θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ, καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες, ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. Ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε.

ιδ'. Περὶ δὲ τοῦ πλήθους τῶν βαρβάρων νεῶν Αἰσχύλος ὁ ποιητής, ὡς ἂν εἰδὼς καὶ διαβεβαιούμενος, ἐν τραγῳδίᾳ Πέρσαις, λέγει ταῦτα·

Ξέρξῃ δὲ (καὶ γὰρ οἶδα) χιλιὰς μὲν ἦν
Νεῶν τὸ πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει,
Ἑκατὸν δὶς ἦσαν, ἑπτὰ θ'. Ὧδ' ἔχει λόγος.

Τῶν δ' Ἀττικῶν, ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν, ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους, ὀκτωκαίδεκα εἶχεν· ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. Δοκεῖ δ' οὐχ ἧττον εὖ τὸν καιρὸν ὁ Θεμιστοκλῆς, ἢ τὸν τόπον, συνιδὼν καὶ φυλάξας, μὴ πρότερον ἀντιπρῴρους καταστῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέσθαι, τὸ πνεῦμα λαμπρὸν ἐκ πελάγους ἀεὶ καὶ κῦμα διὰ τῶν στενῶν κατάγουσαν· ὃ τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτεν ναῦς, ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

βαρβαρικὰς, ταῖς τεπρύμναις ἀνεστώσας, καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε προσπίπτον, καὶ παρεδίδου πλαγίας τοῖς Ἕλλησιν ὀξέως προσφερομένας, καὶ τῷ Θεμιστοκλεῖ προσέχουσιν, ὡς ὁρῶντι μάλιστα τὸ συμφέρον· καὶ ὅτι κατ᾽ ἐκεῖνον ὁ Ξέρξου ναύαρχος Ἀριαμένης, ναῦν ἔχων μεγάλην, ὥσπερ ἀπὸ τείχους ἐτόξευε καὶ ἠκόντιζεν, ἀνὴρ ἀγαθὸς ὢν, καὶ τῶν βασιλέως ἀδελφῶν πολὺ κράτιστός τε καὶ δικαιότατος. Τοῦτον μὲν οὖν Ἀμεινίας ὁ Δεκελεὺς, καὶ Σωσικλῆς ὁ Πεδιεὺς, ὁμοῦ πλέοντες, ὡς αἱ νῆες ἀντίπρωροι προσπεσοῦσαι καὶ συνερείσασαι τοῖς χαλκώμασιν ἐνεσχέθησαν, ἐπιβαίνοντα τῆς αὐτῶν τριήρους, ὑποστάντες καὶ τοῖς δόρασι τύπτοντες, εἰς τὴν θάλασσαν ἐνέβαλον· καὶ τὸ σῶμα μετ᾽ ἄλλων φερόμενον ναυαγίων Ἀρτεμισία γνωρίσασα πρὸς Ξέρξην ἀνήνεγκεν.

ιε΄. Ἐν δὲ τούτῳ τοῦ ἀγῶνος ὄντος, φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριάσιον κατέχειν πεδίον, ἄχρι τῆς θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον. Ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων, κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. Ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν, ἀπ᾽ Αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν Ἑλληνικῶν τριηρῶν· οὓς εἴκαζον Αἰακίδας εἶναι παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. Πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ Ἀθηναῖος, τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ. Οἱ δ᾽ ἄλλοι τοῖς βαρβάροις ἐξισουμένοις τὸ πλῆθος, ἐν στενῷ κατὰ μέρος προσφερομένους, καὶ περιπίπτοντας ἀλλήλοις, ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς οὔθ᾽ Ἕλλησιν, οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους.

ιστ΄. Μετὰ δὲ τὴν ναυμαχίαν, Ξέρξης μὲν ἔτι θυμομαχῶν πρὸς τὴν ἀπότευξιν ἐπεχείρει διὰ χωμάτων ἐπάγειν τὸ πεζὸν εἰς Σαλαμῖνα τοῖς Ἕλλησιν, ἐμφράξας τὸν διὰ μέσου

Παπαχαραλάμπειας Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

πόρον. Θεμιστοκλῆς δ' ἀποπειρώμενος Ἀριστείδου λόγῳ, γνώμην ἐποιεῖτο λύειν τὸ ζεῦγμα ταῖς ναυσὶν ἐπιπλεύσαντας εἰς Ἑλλήσποντον. Ὅπως, ἔφη, τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ λάβωμεν. Δυσχεραίνοντος δὲ τοῦ Ἀριστείδου, καὶ λέγοντος, ὅτι Νῦν μὲν τρυφῶντι τῷ βαρβάρῳ πεπολεμήκαμεν, ἂν δὲ κατακλείσωμεν εἰς τὴν Ἑλλάδα, καὶ καταστήσωμεν εἰς ἀνάγκην ὑπὸ δέους ἄνδρα τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι χρυσῇ θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν, καὶ πᾶσιν αὐτὸς παρὼν διὰ τὸν κίνδυνον, ἐπανορθώσεται τὰ παρειμένα, καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων. Οὐ τὴν οὖσαν οὖν, ἔφη, δεῖ γέφυραν, ὦ Θεμιστόκλεις, ἡμᾶς ἀναιρεῖν, ἀλλ' ἑτέραν, εἴπερ οἷόν τε, προσκατασκευάσαντας, ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης· Οὐκοῦν, εἶπεν ὁ Θεμιστοκλῆς, εἰ δοκεῖ ταῦτα συμφέρειν, ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας ἡμᾶς, ὅπως ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος. Ἐπεὶ δὲ ταῦτ' ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρών, Ἀρνάκην ὄνομα φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς μὲν Ἕλλησι δέδοκται, τῷ ναυτικῷ κεκρατηκότας, ἀναπλεῖν εἰς τὸν Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα, καὶ λύειν τὴν γέφυραν· Θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως, παραινεῖ σπεύδειν ἐπὶ τὴν ἑαυτοῦ θάλασσαν, καὶ περαιοῦσθαι, μέχρις αὐτὸς ἐμποιεῖ τινας διατριβὰς τοῖς συμμάχοις καὶ μελλήσεις πρὸς τὴν δίωξιν. Ταῦθ' ὁ βάρβαρος ἀκούσας, καὶ γενόμενος περίφοβος, διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν· καὶ πεῖραν ἡ Θεμιστοκλέους καὶ Ἀριστείδου φρόνησις ἐν Μαρδονίῳ παρέσχεν, εἴγε πολλοστημορίῳ τῆς Ξέρξου δυνάμεως διαγωνισάμενοι Πλαταιᾶσιν, εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον κατέστησαν.

ιζ'. Πόλεων μὲν οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί φησιν Ἡρόδοτος, Θεμιστοκλεῖ δὲ (καίπερ ἄκοντος ὑπὸ φθόνου) τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. Ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν ἀπὸ τοῦ βωμοῦ τὴν ψῆφον ἔφερον οἱ στρατηγοί, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν, Θεμιστοκλέα. Λακεδαιμόνιοι δ' εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες, Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν, θαλλοῦ στέφανον· καὶ τῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

κατὰ τὴν πόλιν ἁρμάτων πρωτεῦον ἐδωρήσαντο, καὶ τριακοσίους τῶν νέων πομποὺς ἄχρι τῶν ὅρων συνεξέπεμψαν. Λέγεται δ', Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων, καὶ παρελθόντος εἰς τὸ στάδιον τοῦ Θεμιστοκλέους, ἀμελήσαντας τῶν ἀγωνιστῶν τοὺς παρόντας, ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι, καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτοῦντας· ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.

ιη΄. Καὶ γὰρ ἦν τῇ φύσει φιλοτιμότατος, εἰ δεῖ τεκμαίρεσθαι διὰ τῶν ἀπομνημονευομένων. Αἱρεθείς τε γὰρ ναύαρχος ὑπὲρ τῆς πόλεως, οὐδὲν οὔτε τῶν ἰδίων, οὔτε τῶν κοινῶν, κατὰ μέρος ἐχρημάτιζεν, ἀλλὰ πᾶν ἐνεβάλλετο τὸ προσπίπτον εἰς τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἐκπλεῖν ἔμελλεν, ἵν' ὁμοῦ πολλὰ πράττων πράγματα, καὶ παντοδαποῖς ἀνθρώποις ὁμιλῶν, μέγας εἶναι δοκῇ καὶ πλεῖστον δύνασθαι. Τῶν τε νεκρῶν τοὺς ἐκπεσόντας ἐπισκοπῶν παρὰ τὴν θάλασσαν, ὡς εἶδε περικείμενα ψέλλια χρυσᾶ καὶ στρεπτούς, αὐτὸς μὲν παρῆλθε, τῷ δ' ἑπομένῳ φίλῳ δείξας, εἶπεν· ,, Ἀνελοῦ σαυτῷ· σὺ γὰρ οὐκ εἶ Θεμιστοκλῆς. ,, Πρὸς δέ τινα τῶν καλῶν γεγονότων, Ἀντιφάτην, ὑπερηφάνως αὐτῷ κεχρημένον πρότερον, ὕστερον δὲ θεραπεύοντα διὰ τὴν δόξαν· ,, Ὦ μειράκιον (εἶπεν), ὀψὲ μέν, ἀμφότεροι δ' ἅμα νοῦν ἐσχήκαμεν.,, Ἔλεγε δὲ, τοὺς Ἀθηναίους οὐ τιμᾶν αὐτόν, οὐδὲ θαυμάζειν, ἀλλὰ ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέχειν καὶ κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης, τίλλειν καὶ κολούειν. Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν· ,, Ἀληθεύων λέγεις, (εἶπεν), ἀλλ' οὔτ' ἂν ἐγώ, Σερίφιος ὤν, ἐγενόμην ἔνδοξος, οὔτε σύ, Ἀθηναῖος.,, Ἑτέρου δέ τινος τῶν στρατηγῶν, ὡς ἔδοξέ τι χρήσιμον διαπεπρᾶχθαι τῇ πόλει, θρασυνομένου πρὸς τὸν Θεμιστοκλέα, καὶ τὰς ἑαυτοῦ ταῖς ἐκείνου πράξεσιν ἀντιπαραβάλλοντος, ἔφη τῇ ἑορτῇ τὴν ὑστέραν ἐρίσαι, λέγουσαν, ὡς ἐκείνη μὲν ἀσχολιῶν τε μεστὴ καὶ κοπώδης ἐστίν, ἐν αὐτῇ δὲ πάντες ἀπολαύουσι τῶν παρεσκευασμένων σχολάζοντες· τὴν δ' ἑορτὴν πρὸς ταῦτ' εἰπεῖν· Ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ μὴ γενομένης, σὺ οὐκ ἂν ἦσθα· κἀμοῦ τοίνυν,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἔφη, τότε μὴ γενομένου, ποῦ ἂν ἦτε νῦν ὑμεῖς; Τὸν δ' υἱὸν ἐντρυφῶντα τῇ μητρὶ, καὶ δι' ἐκείνην αὐτῷ, σκώπτων ἔλεγε πλεῖστον τῶν Ἑλλήνων δύνασθαι· τοῖς μὲν γὰρ Ἕλλησιν ἐπιτάττειν Ἀθηναίους, Ἀθηναίοις δ' αὐτὸν, αὐτῷ δὲ τὴν ἐκείνου μητέρα, τῇ μητρὶ δ' ἐκεῖνον. Ἴδιός δέ τις ἐν πᾶσι βουλόμενος εἶναι, χωρίον μὲν πιπράσκων, ἐκέλευε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει. Τῶν δὲ μνωμένων αὐτοῦ τὴν θυγατέρα, τὸν ἐπιεικῆ τοῦ πλουσίου προκρίνας, ἔφη ζητεῖν ἄνδρα χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός. Ἐν μὲν οὖν τοῖς ἀποφθέγμασι τοιοῦτός τις ἦν.

ιθ' Γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων, εὐθὺς ἐπεχείρει τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς Ἐφόρους· ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος. Ἧκε μὲν γὰρ εἰς Σπάρτην, ὄνομα πρεσβείας ἐπιγραψάμενος. Ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὅτι τειχίζουσι τὸ ἄστυ, καὶ Πολιάρχου κατηγοροῦντος, ἐπίτηδες ἐξ Αἰγίνης ἀποσταλέντος, ἠρνεῖτο, καὶ πέμπειν ἐκέλευεν εἰς Ἀθήνας τοὺς κατοψομένους· ἅμα μὲν ἐμβάλλων τῷ τειχισμῷ χρόνον ἐκ τῆς διατριβῆς, ἅμα δὲ βουλόμενος ἀνθ' αὐτοῦ τοὺς πεμπομένους ὑπάρχειν τοῖς Ἀθηναίοις. Ὃ καὶ συνέβη· γνόντες γὰρ οἱ Λακεδαιμόνιοι τὸ ἀληθὲς, οὐκ ἠδίκησαν αὐτὸν, ἀλλ' ἀδήλως χαλεπαίνοντες, ἀπέπεμψαν. Ἐκ δὲ τούτου τὸν Πειραιᾶ κατεσκεύαζε, τὴν τῶν λιμένων εὐφυΐαν κατανοήσας, καὶ τὴν πόλιν ὅλην ἁρμοττόμενος πρὸς τὴν θάλασσαν, καὶ τρόπον τινὰ τοῖς παλαιοῖς βασιλεῦσι τῶν Ἀθηναίων ἀντιπολιτευόμενος. Ἐκεῖνοι μὲν γὰρ, ὡς λέγεται, πραγματευόμενοι τοὺς πολίτας ἀποσπάσαι τῆς θαλάσσης, καὶ συνεθίσαι ζῆν μὴ πλέοντας, ἀλλὰ τὴν χώραν φυτεύοντας, τὸν περὶ τῆς Ἀθηνᾶς διέδοσαν λόγον, ὡς, ἐρίσαντος περὶ τῆς χώρας τοῦ Ποσειδῶνος, δείξασα τὴν μορίαν τοῖς δικασταῖς, ἐνίκησε. Θεμιστοκλῆς δὲ οὐχ, ὡς Ἀριστοφάνης ὁ κωμικὸς λέγει, τῇ πόλει τὸν Πειραιᾶ προσέμιξεν, ἀλλὰ τὴν πόλιν ἐξῆψε τοῦ Πειραιῶς, καὶ τὴν γῆν τῆς θαλάττης· ὃ καὶ τὸν δῆμον ηὔξησε κατὰ τῶν ἀρίστων, καὶ θράσους ἐνέπλησεν, εἰς ναύτας καὶ κελευστὰς καὶ κυβερνήτας τῆς δυνάμεως ἀφικομένης. Διὸ καὶ τὸ βῆμα τὸ ἐν Πνυκὶ, πεποιημένον ὥστ' ἀποβλέ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

πειν πρὸς τὴν θάλασσαν, ὕστερον οἱ τριάκοντα πρὸς τὴν χώραν ἀπέστρεψαν, οἰόμενοι, τὴν μὲν κατὰ θάλατταν ἀρχὴν, γένεσιν εἶναι δημοκρατίας, ὀλιγαρχίᾳ δ' ἧττον δυσχεραίνειν τοὺς γεωργοῦντας.

κ'. Θεμιστοκλῆς δὲ καὶ μεῖζόν τι περὶ τῆς ναυτικῆς διενοήθη δυνάμεως. Ἐπεὶ γὰρ ὁ τῶν Ἑλλήνων στόλος, ἀπηλλαγμένος Ξέρξου, κατῆρεν εἰς Παγασὰς, καὶ διεχείμαζε, δημηγορῶν ἐν τοῖς Ἀθηναίοις ἔφη τινὰ πρᾶξιν ἔχειν ὠφέλιμον μὲν αὐτοῖς καὶ σωτήριον, ἀπόῤῥητον δὲ πρὸς τοὺς πολλούς. Τῶν δ' Ἀθηναίων Ἀριστείδῃ μόνῳ φράσαι κελευόντων, κἂν ἐκεῖνος δοκιμάσῃ, περαίνειν, ὁ μὲν Θεμιστοκλῆς ἔφραζε τῷ Ἀριστείδῃ, τὸ νεώριον ἐμπρῆσαι διανοεῖσθαι τῶν Ἑλλήνων· ὁ δ' εἰς τὸν δῆμον παρελθὼν, ἔφη, τῆς πράξεως, ἣν διανοεῖται πράττειν ὁ Θεμιστοκλῆς, μηδεμίαν εἶναι μήτε λυσιτελεστέραν, μήτε ἀδικωτέραν. Οἱ μὲν οὖν Ἀθηναῖοι διὰ ταῦτα παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν. Ἐν δὲ τοῖς Ἀμφικτυονικοῖς συνεδρίοις, τῶν Λακεδαιμονίων εἰσηγουμένων, ὅπως ἀπείργωνται τῆς Ἀμφικτυονίας αἱ μὴ συμμαχήσασαι κατὰ τοῦ Μήδου πόλεις, φοβηθεὶς, μὴ Θετταλοὺς καὶ Ἀργείους, ἔτι δὲ Θηβαίους, ἐκβαλόντες τοῦ συνεδρίου, παντελῶς ἐπικρατήσωσι τῶν ψήφων, καὶ γένηται τὸ δοκοῦν ἐκείνοις, συνεῖπε ταῖς πόλεσι, καὶ μετέθηκε τὰς γνώμας τῶν Πυλαγόρων· διδάξας, ὡς τριάκοντα καὶ μία μόναι πόλεις εἰσὶν αἱ μετασχοῦσαι τοῦ πολέμου, καὶ τούτων αἱ πλείους παντάπασι μικραί. Δεινὸν οὖν, εἰ, τῆς ἄλλης Ἑλλάδος ἐκσπόνδου γενομένης, ἐπὶ ταῖς μεγίσταις δυσὶν, ἢ τρισὶ πόλεσιν ἔσται τὸ συνέδριον. Ἐκ τούτου μὲν οὖν μάλιστα τοῖς Λακεδαιμονίοις προσέκρουσε· διὸ καὶ τὸν Κίμωνα προῆγον ταῖς τιμαῖς, ἀντίπαλον ἐν τῇ πολιτείᾳ τῷ Θεμιστοκλεῖ καθιστάντες.

κα'. Ἦν δὲ καὶ τοῖς συμμάχοις ἐπαχθὴς, περιπλέων τε τὰς νήσους καὶ χρηματιζόμενος ἀπ' αὐτῶν· οἷα καὶ πρὸς Ἀνδρίους ἀργύριον αἰτοῦντα φησὶν αὐτὸν Ἡρόδοτος εἰπεῖν τε καὶ ἀκοῦσαι. Δύο γὰρ ἥκειν ἔφη Θεοὺς κομίζων, Πειθὼ καὶ Βίαν· οἱ δ' ἔφασαν εἶναι καὶ παρ' αὐτοῖς Θεοὺς μεγάλους δύο, Πενίαν καὶ Ἀπορίαν, ὑφ' ὧν κωλύεσθαι δοῦναι χρήματα ἐκείνῳ. Τιμοκρέων δ' ὁ Ῥόδιος μελοποιὸς ἐν ᾄσματι

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειας Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον προεμένου δι' ἀργύριον. Λέγει δ' οὕτως·

Ἀλλ' εἰ τύ γε Παυσανίαν, ἢ καὶ τύ γε Ξάντιππον αἰνεῖς, ἢ τύ γε Λευτυχίδαν·
Ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω, ἄνδρα ἱερᾶν ἀπ' Ἀθανᾶν ἐλθεῖν ἕνα λῷστον.
Ἐπεὶ δὲ Θεμιστοκλῆα ἤχθαρε Λατὼ ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἐόντα,
Ἀργυρίοισι σκυβαλικοῖσι πεισθεὶς, οὐ κατᾶγεν εἰς πατρίδα Ἰάλυσον.
Λαβὼν δὲ τρί' ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον;
Τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων,
Ἀργυρίων ὑπόπλεως. Ἰσθμοῖ δ' ἐπανδόκευε γελοίως ψυχρὰ κρέα παρέχων·
Οἱ δ' ἤσθιον, κ' ηὔχοντο μὴ ὥραν Θεμιστοκλέους γενέσθαι.

Πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα κέχρηται βλασφημίᾳ μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων, ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή·

Μοῦσα τοῦδε τοῦ μέλεος κλέος ἀν' Ἕλλανας τίθει ὡς ἐοικὸς καὶ δίκαιον.

Λέγεται δ' ὁ Τιμοκρέων ἐπὶ μηδισμῷ φυγεῖν, συγκαταψηφισαμένου τοῦ Θεμιστοκλέους. Ὡς οὖν ὁ Θεμιστοκλῆς αἰτίαν ἔσχε μηδίζειν, ταῦτ' ἐποίησε πρὸς αὐτόν.

Οὐκ ἄρα Τιμοκρέων μοῦνος Μήδοισιν ὅρκια τέμνει·
Ἀλλ' ἐντὶ κ' ἄλλοι δὴ πονηροὶ, οὐκ ἐγὼ μόνα κόλουρις·
Ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.

κβ'. Ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν ἡδέως τὰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

διαβολὰς προσιεμένων, ἠναγκάζετο λυπηρὸς εἶναι, τῶν αὐτοῦ πράξεων ἐν τῷ δήμῳ πολλάκις μνημονεύων· καὶ πρὸς τοὺς δυσχεραίνοντας, „ Τί κοπιᾶτε, εἶπεν, ὑπὸ τῶν αὐτῶν πολλάκις εὖ πάσχοντες „ ; Ἠνίασε δὲ τοὺς πολλοὺς καὶ τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἰσάμενος, ἣν Ἀριστοβούλην μὲν προσηγόρευσεν, ὡς ἄριστα τῇ πόλει καὶ τοῖς Ἕλλησι βουλευσάμενος, πλησίον δὲ τῆς οἰκίας κατεσκεύασεν ἐν Μελίτῃ τὸ ἱερόν, οὗ νῦν τὰ σώματα τῶν θανατουμένων οἱ δήμιοι προβάλλουσι, καὶ τὰ ἱμάτια καὶ τοὺς βρόχους τῶν ἀπαγχομένων καὶ καθαιρεθέντων ἐκφέρουσιν. Ἔκειτο δὲ καὶ τοῦ Θεμιστοκλέους εἰκόνιον ἐν τῷ ναῷ τῆς Ἀριστοβούλης ἔτι καθ' ἡμᾶς· καὶ φαίνεταί τις οὐ τὴν ψυχὴν μόνην, ἀλλὰ καὶ τὴν ὄψιν ἡρωϊκὸς γενόμενος. Τὸν μὲν οὖν ἐξοστρακισμὸν ἐποιήσαντο κατ' αὐτοῦ, καθαιροῦντες τὸ ἀξίωμα καὶ τὴν ὑπεροχήν, ὥσπερ εἰώθεσαν ἐπὶ πάντων, οὓς ᾤοντο τῇ δυνάμει βαρεῖς, καὶ πρὸς ἰσότητα δημοκρατικὴν ἀσυμμέτρους εἶναι. Κόλασις γὰρ οὐκ ἦν ὁ ἐξοστρακισμός, ἀλλὰ παραμυθία φθόνου καὶ κουφισμός, ἡδομένου τῷ ταπεινοῦν τοὺς ὑπερέχοντας, καὶ τὴν δυσμένειαν εἰς ταύτην τὴν ἀτιμίαν ἀποπνέοντος.

κγ'. Ἐκπεσόντος δὲ τῆς πόλεως αὐτοῦ καὶ διατρίβοντος ἐν Ἄργει, τὰ περὶ Παυσανίαν συμπεσόντα κατ' αὐτοῦ παρέσχε τοῖς ἐχθροῖς ἀφορμάς. Ὁ δὲ γραψάμενος αὐτὸν προδοσίας, Λεωβότης ἦν Ἀλκμαίωνος, Ἀγραύληθεν, ἅμα συνεπαιτιωμένων τῶν Σπαρτιατῶν. Ὁ γὰρ Παυσανίας, πράττων ἐκεῖνα δὴ τὰ περὶ τὴν προδοσίαν, πρότερον μὲν ἀπεκρύπτετο τὸν Θεμιστοκλέα, καίπερ ὄντα φίλον· ὡς δ' εἶδεν ἐκπεπτωκότα τῆς πολιτείας καὶ φέροντα χαλεπῶς, ἐθάρσησεν ἐπὶ τὴν κοινωνίαν τῶν πραττομένων παρακαλεῖν, τὰ γράμματα τοῦ βασιλέως ἐπιδεικνύμενος αὐτῷ, καὶ παροξύνων ἐπὶ τοὺς Ἕλληνας, ὡς πονηροὺς καὶ ἀχαρίστους. Ὁ δὲ τὴν μὲν δέησιν ἀπετρέψατο τοῦ Παυσανίου, καὶ τὴν κοινωνίαν ὅλως ἀπείπατο, πρὸς οὐδένα δὲ τοὺς λόγους ἐξήνεγκεν, οὐδὲ κατεμήνυσε τὴν πρᾶξιν, εἴτε παύσεσθαι προσδοκῶν αὐτόν, εἴτ' ἄλλως καταφανῆ γενήσεσθαι, σὺν οὐδενὶ λογισμῷ πραγμάτων ἀτόπων καὶ παραβόλων ὀρεγόμενον. Οὕτω δὴ τοῦ Παυσανίου θανατωθέντος, ἐπιστολαί τινες ἀνευρεθεῖσαι καὶ γράμματα περὶ τούτων, εἰς ὑποψίαν ἐνέβαλον τὸν Θεμιστοκλέα· καὶ κατεβόων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μὲν αὐτοῦ Λακεδαιμόνιοι, κατηγόρουν δ' οἱ φθονοῦντες τῶν πολιτῶν, οὐ παρόντος, ἀλλὰ διὰ γραμμάτων ἀπολογουμένου μάλιστα ταῖς προτέραις κατηγορίαις. Διαβαλλόμενος γὰρ ὑπὸ τῶν ἐχθρῶν, πρὸς τοὺς πολίτας ἔγραφεν, ὡς ἄρχειν μὲν ἀεὶ ζητῶν, ἄρχεσθαι δὲ μὴ πεφυκώς, μηδὲ βουλόμενος, οὐκ ἄν ποτε βαρβάροις καὶ πολεμίοις αὑτὸν ἀποδόσθαι μετὰ τῆς Ἑλλάδος. Οὐ μὴν ἀλλὰ συμπεισθεὶς ὑπὸ τῶν κατηγορούντων ὁ δῆμος, ἔπεμψεν ἄνδρας, οἷς εἴρητο συλλαμβάνειν καὶ ἄγειν κριθησόμενον αὐτὸν ἐν τοῖς Ἕλλησιν.

κδ΄. Προαισθόμενος δ' ἐκεῖνος, εἰς Κέρκυραν διεπέρασεν, οὔσης αὐτῷ πρὸς τὴν πόλιν εὐεργεσίας. Γενόμενος γὰρ αὐτῶν κριτής, πρὸς Κορινθίους ἐχόντων διαφοράν, ἔλυσε τὴν ἔχθραν εἴκοσι τάλαντα κρίνας τοὺς Κορινθίους καταβαλεῖν, καὶ Λευκάδα κοινῇ νέμειν, ἀμφοτέρων ἄποικον. Ἐκεῖθεν δ' εἰς Ἤπειρον ἔφυγε· καὶ διωκόμενος ὑπὸ τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων, ἔρριψεν αὑτὸν εἰς ἐλπίδας χαλεπὰς καὶ ἀπόρους, καταφυγὼν πρὸς Ἄδμητον, ὃς βασιλεὺς μὲν ἦν Μολοττῶν, δεηθεὶς δέ τι τῶν Ἀθηναίων, καὶ προπηλακισθεὶς ὑπὸ τοῦ Θεμιστοκλέους, ὅτ' ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι' ὀργῆς εἶχεν αὐτὸν ἀεί. καὶ δῆλος ἦν, εἰ λάβοι, τιμωρησόμενος. Ἐν δὲ τῇ τότε φυγῇ μᾶλλον ὁ Θεμιστοκλῆς φοβηθεὶς συγγενῆ καὶ πρόσφατον φθόνον, ὀργῆς παλαιᾶς καὶ βασιλικῆς, ταύτῃ φέρων ὑπέθηκεν ἑαυτὸν ἱκέτης τοῦ Ἀδμήτου καταστάς, ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον. Ἔχων γὰρ αὐτοῦ τὸν υἱόν, ὄντα παῖδα, πρὸς τὴν ἑστίαν προσέπεσε, ταύτην μεγίστην καὶ μόνην σχεδὸν ἀναντίρρητον ἡγουμένων ἱκεσίαν τῶν Μολοσσῶν. Ἔνιοι μὲν οὖν Φθίαν τὴν γυναῖκα τοῦ βασιλέως λέγουσιν ὑποθέσθαι τῷ Θεμιστοκλεῖ τὸ ἱκέτευμα τοῦτο, καὶ τὸν υἱὸν ἐπὶ τὴν ἑστίαν καθίσαι μετ' αὐτοῦ· τινὲς δ' αὐτὸν τὸν Ἄδμητον, ὡς ἀφοσιώσαιτο πρὸς τοὺς διώκοντας τὴν ἀνάγκην, δι' ἣν οὐκ ἐκδίδωσι τὸν ἄνδρα, διαθεῖναι καὶ συντραγῳδῆσαι τὴν ἱκεσίαν. Ἐκεῖ δ' αὐτῷ τὴν γυναῖκα καὶ τοὺς παῖδας, ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν, Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν· ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος. Εἶτ' οὐκ οἶδ' ὅπως ἐπιλαθόμενος τούτων, ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον, πλεῦσαί φησιν εἰς Σικελίαν, καὶ παρ' Ἱέρω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νος αἰτεῖν τυράννου τὴν θυγατέρα πρὸς γάμον, ὑπισχνούμενος αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν· ἀποστρεψαμένου δὲ τοῦ Ἱέρωνος, οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι.

κέ. Ταῦτα δ' οὐκ εἰκός ἐστιν οὕτω γενέσθαι. Θεόφραστος γὰρ ἐν τοῖς Περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα, πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστάς, καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος, εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. Θουκυδίδης δέ φησι καὶ πλεῦσαι αὐτόν, ἐπὶ τὴν ἑτέραν καταβάντα θάλασσαν ἀπὸ Πύδνης, οὐδενὸς εἰδότος, ὅστις εἴη, τῶν πλεόντων, μέχρις οὗ πνεύματι τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης ὑπ' Ἀθηναίων πολιορκουμένην τότε, φοβηθείς, ἀναδείξειεν ἑαυτὸν τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ· καὶ τὰ μὲν δεόμενος, τὰ δ' ἀπειλῶν, καὶ λέγων, ὅτι κατηγορήσοι καὶ καταψεύσοιτο πρὸς τοὺς Ἀθηναίους, ὡς οὐκ ἀγνοοῦντες, ἀλλὰ χρήμασι πεισθέντες ἐξ ἀρχῆς, ἀναλάβοιεν αὐτόν, οὕτως ἀναγκάσειε παραπλεῦσαι καὶ λαβέσθαι τῆς Ἀσίας. Τῶν δὲ χρημάτων αὐτῷ πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει· τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον, Θεόπομπος μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δ' ὀγδοήκοντα. φησὶ γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους, πρὶν ἅπτεσθαι τῆς πολιτείας.

κστ'. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κύμην, καὶ πολλοὺς ᾔσθετο τῶν ἐπὶ θαλάττῃ παραφυλάττοντας αὐτὸν λαβεῖν, μάλιστα δὲ τοὺς περὶ Ἐργοτέλη καὶ Πυθόδωρον (ἦν γὰρ ἡ θήρα λυσιτελὴς τοῖς τὸ κερδαίνειν ἀπὸ παντὸς ἀγαπῶσι, ἐπικεκηρυγμένων αὐτῷ ταλάντων ὑπὸ τοῦ βασιλέως), ἔφυγεν εἰς Αἰγάς, Αἰολικὸν πολισμάτιον, ὑπὸ πάντων ἀγνοούμενος, πλὴν τοῦ ξένου Νικογένους, ὃς Αἰολέων πλείστην οὐσίαν ἐκέκτητο, καὶ τοῖς ἄνω δυνατοῖς γνώριμος ὑπῆρξε. Παρὰ τούτῳ κρυπτόμενος ἡμέρας ὀλίγας διέτριψεν· εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινός, Ὄλβιος, ὁ τῶν τέκνων τοῦ Νικογένους παιδαγωγός, ἔκφρων γενόμενος καὶ θεοφόρητος, ἀνεφώνησε μέτρῳ ταυτί,

Νυκτὶ φωνήν, νυκτὶ βουλήν, νυκτὶ τὴν νίκην δίδου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιοποιήθηκε από τη Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ Θεμιστοκλῆς, ὄναρ ἔδοξεν ἰδεῖν δράκοντα κατὰ τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον, καὶ προσανέρποντα τῷ τραχήλῳ· γενόμενον δ' ἀετόν, ὡς ἥψατο τοῦ προσώπου, περιβαλόντα τὰς πτέρυγας, ἐξᾶραι καὶ κομίζειν πολλὴν ὁδόν, εἶτα χρυσείου τινὸς κηρυκείου φανέντος, ἐπὶ τούτου στῆσαι βεβαίως αὐτόν, ἀμηχάνου δείματος καὶ ταραχῆς ἀπαλλαγέντα. Πέμπεται γοῦν ὑπὸ τοῦ Νικογένους μηχανησαμένου τι τοιοῦτον. Τοῦ βαρβαρικοῦ γένους τὸ πολὺ καὶ μάλιστα τὸ Περσικόν, εἰς ζηλοτυπίαν τὴν περὶ τὰς γυναῖκας ἄγριον φύσει καὶ χαλεπόν ἐστιν. Οὐ γὰρ μόνον τὰς γαμετάς, ἀλλὰ καὶ τὰς ἀργυρωνήτους καὶ παλλακευομένας, ἰσχυρῶς παραφυλάττουσιν ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν ἐκτός, ἀλλ' οἴκοι μὲν διαιτᾶσθαι κατακεκλεισμένας, ἐν δὲ ταῖς ὁδοιπορίαις, ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι. Τοιαύτης τῷ Θεμιστοκλεῖ κατασκευασθείσης ἀπήνης, καταδὺς ἐκομίζετο, τῶν περὶ αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνουσι καὶ πυνθανομένοις λεγόντων, ὅτι γύναιον Ἑλληνικὸν ἄγουσιν ἀπ' Ἰωνίας, πρός τινα τῶν ἐπὶ θύραις βασιλέως.

κζ'. Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι, τεθνηκότος Ξέρξου, πρὸς υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. Τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις. Ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινόν, ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ, λέγων, Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίστων πραγμάτων, καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος. Ὁ δέ φησιν· ,,Ὦ ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων· ἄλλα δ' ἄλλοις καλά· καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. Ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα, λόγος· ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν ὄντων, κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα, καὶ προσκυνεῖν εἰκόνα Θεοῦ τοῦ τὰ πάντα σώζοντος. Εἰ μὲν οὖν, ἐπαινῶν τὰ ἡμέτερα, προσκυνήσεις, ἔστι σοι καὶ βασιλέα θεάσασθαι καὶ προσειπεῖν, εἰ δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Βιβλιοθήκη Ναυπάκτου

αὐτὸν, Βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος.,, Ταῦτα ὁ Θεμιστοκλῆς ἀκούσας λέγει πρὸς αὐτόν· ,, Ἀλλ' ἔγωγε τὴν βασιλέως, ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ Θεῷ τῷ μεγαλύναντι Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν. Ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν· Τίνα δ' (εἶπεν ὁ Ἀρτάβανος) Ἑλλήνων ἀφῖχθαί σε φῶμεν; ου γὰρ ἰδιώτῃ τὴν γνώμην ἔοικας,,. καὶ ὁ Θεμιστοκλῆς· " Τοῦτ' οὐκέτ' ἄν, ἔφη, πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως,, Οὕτω μὲν ὁ Φανίας φησίν. Ὁ δ' Ἐρατοσθένης ἐν τοῖς Περὶ πλούτου προσιστόρησε, διὰ γυναικὸς Ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.

κη'. Ἐπειδὴ οὖν εἰσήχθη πρὸς βασιλέα, καὶ προσκυνήσας ἔστη σιωπῇ, προστάξαντος τῷ ἑρμηνεῖ τοῦ βασιλέως ἐρωτῆσαι, τίς ἐστι, καὶ τοῦ ἑρμηνέως ἐρωτήσαντος εἶπεν. ,,Ἥκω σοι, βασιλεῦ, Θεμιστοκλῆς ὁ Ἀθηναῖος ἐγὼ, φυγὰς ὑφ' Ἑλλήνων διωχθεὶς, ᾧ πολλὰ μὲν ὀφείλουσι κακὰ Πέρσαι, πλείω δ' ἀγαθὰ κωλύσαντι τὴν δίωξιν, ὅτε τῆς Ἑλλάδος ἐν ἀσφαλεῖ γενομένης, παρέσχε τὰ οἴκοι σωζόμενα χαρίσασθαί τι καὶ ὑμῖν. Ἐμοὶ μὲν οὖν πάντα πρέποντα ταῖς παρούσαις συμφοραῖς ἐστι, καὶ παρεσκευασμένος ἀφῖγμαι δέξασθαί τε χάριν εὐμενῶς διαλλαττομένου, καὶ παραιτεῖσθαι μνησικακοῦντος ὀργήν. Σὺ δὲ τοὺς ἐμοὺς ἐχθροὺς μάρτυρας θέμενος, ὧν εὐεργέτησα Πέρσας, ἀπόχρησαι ταῖς ἐμαῖς τύχαις πρὸς ἐπίδειξιν ἀρετῆς μᾶλλον, ἢ πρὸς ἀποπλήρωσιν ὀργῆς. Σώσεις μὲν γὰρ ἱκέτην σὸν, ἀπολεῖς δ' Ἑλλήνων πολέμιον γενόμενον.,, Ταῦτ' εἰπὼν ὁ Θεμιστοκλῆς, ἐπεθείασε τῷ λόγῳ προσδιελθὼν τὴν ὄψιν, ἣν εἶδεν ἐν Νικογένους, καὶ τὸ μάντευμα τοῦ Δωδωναίου Διὸς, ὡς κελευσθεὶς πρὸς τὸν ὁμώνυμον τοῦ Θεοῦ βαδίζειν, συμφρονήσειε πρὸς ἐκεῖνον ἀναπέμπεσθαι· μεγάλους γὰρ ἀμφοτέρους εἶναί τε καὶ λέγεσθαι βασιλέας. Ἀκούσας δ' ὁ Πέρσης, ἐκείνῳ μὲν οὐδὲν ἀπεκρίνατο, καίπερ θαυμάσας τὸ φρόνημα καὶ τὴν τόλμαν αὐτοῦ· μακαρίσας δὲ πρὸς τοὺς φίλους ἑαυτὸν, ὡς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Βιβλιοθήκη Ναυπάκτου

ἐπ' εὐτυχίᾳ μεγίστῃ, καὶ κατευξάμενος ἀεὶ τοῖς πολεμίοις τοιαύτας φρένας διδόναι τὸν Ἀρειμάνιον, ὅπως ἐλαύνωσι τοὺς ἀρίστους ἐξ ἑαυτῶν, θῦσαι τοῖς Θεοῖς λέγεται, καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι, καὶ νύκτωρ ὑπὸ χαρᾶς διὰ μέσων τῶν ὕπνων βοῆσαι τρίς· "Ἔχω Θεμιστοκλέα τὸν Ἀθηναῖον".

κθ'. Ἅμα δ' ἡμέρᾳ συγκαλέσας τοὺς φίλους, εἰσήγαγεν αὐτὸν, μηδὲν ἐλπίζοντα χρηστὸν, ἐξ ὧν ἑώρα τοὺς ἐπὶ θύραις, ὡς ἐπύθοντο τοὔνομα παρόντος αὐτοῦ, χαλεπῶς διακειμένους καὶ κακῶς λέγοντας. Ἔτι δὲ Ῥωξάνης ὁ χιλίαρχος, ὡς κατ' αὐτὸν ἦν ὁ Θεμιστοκλῆς προσιὼν, καθημένου βασιλέως, καὶ τῶν ἄλλων σιωπώντων, ἀτρέμα στενάξας εἶπεν " Ὄφις Ἕλλην ὁ ποικίλος, ὁ βασιλέως σε δαίμων δεῦρο ἤγαγεν." Οὐ μὴν ἀλλ' εἰς ὄψιν ἐλθόντος αὐτοῦ, καὶ πάλιν προσκυνήσαντος, ἀσπασάμενος καὶ προσειπὼν φιλοφρόνως ὁ βασιλεὺς, ἤδη μὲν ἔφησεν αὐτῷ διακόσια τάλαντα ὀφείλειν· κομίσαντα γὰρ αὐτὸν, ἀπολήψεσθαι δικαίως τὸ ἐπικηρυχθὲν τῷ ἀγαγόντι. Πολλῷ δὲ πλείω τούτων ὑπισχνεῖτο, καὶ παρεθάῤῥυνε· καὶ λέγειν ἐκέλευε περὶ τῶν Ἑλληνικῶν, ἃ βούλοιτο, παῤῥησιαζόμενον. Ὁ δὲ Θεμιστοκλῆς ἀπεκρίνατο, τὸν λόγον ἐοικέναι τοῦ ἀνθρώπου τοῖς ποικίλοις στρώμασιν· ὡς γὰρ ἐκεῖνα, καὶ τοῦτον, ἐκτεινόμενον μὲν ἐπιδείκνυσθαι τὰ εἴδη, συστελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν. Ὅθεν αὐτῷ χρόνου δεῖν. Ἐπεὶ δ', ἡσθέντος τοῦ βασιλέως τῇ εἰκασίᾳ, καὶ λαμβάνειν κελεύσαντος, ἐνιαυτὸν αἰτησάμενος, καὶ τὴν Περσίδα γλῶτταν ἀποχρώντως ἐκμαθὼν, ἐνετύγχανε βασιλεῖ δι' αὐτοῦ, τοῖς μὲν ἐκτὸς δόξαν παρέσχε περὶ τῶν Ἑλληνικῶν πραγμάτων διειλέχθαι· πολλῶν δὲ καινοτομουμένων περὶ τὴν αὐλὴν καὶ τοὺς φίλους τοῦ βασιλέως ἐν ἐκείνῳ τῷ καιρῷ, φθόνον ἔσχε παρὰ τοῖς δυνατοῖς, ὡς καὶ περὶ ἐκείνων παῤῥησίᾳ χρήσασθαι πρὸς αὐτὸν ἀποτετολμηκώς. Οὐδὲν γὰρ ἦσαν αἱ τιμαὶ ταῖς τῶν ἄλλων ἐοικυῖαι ξένων, ἀλλὰ καὶ κυνηγεσίων βασιλεῖ μετέσχε, καὶ τῶν οἴκοι διατριβῶν, ὥστε καὶ μητρὶ τοῦ βασιλέως εἰς ὄψιν ἐλθεῖν, καὶ γενέσθαι συνήθης, διακοῦσαι δὲ καὶ τῶν μαγικῶν λόγων, τοῦ βασιλέως κελεύσαντος. Ἐπειδὴ δὲ Δημάρατος ὁ Σπαρτιάτης, αἰτήσασθαι δωρεὰν κελευσθεὶς, ᾐτήσατο τὴν κι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παραχωρήθηκε από τη Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

θαριν, ὥσπερ οἱ βασιλεῖς, ἐπαράμενος εἰσελάσαι διὰ Σάρδεων, Μιθροπαύστης μὲν ἀνεψιὸς ὢν βασιλέως εἶπε τοῦ Δημαράτου τῆς χειρὸς ἁψάμενος· "Αὕτη μὲν ἡ κίθαρις οὐκ ἔχει ἐγκέφαλον, ὃν ἐπικαλύψει· σὺ δ' οὐκ ἔσῃ Ζεύς, κἂν λάβῃς κεραυνόν",, ἀπωσαμένου δὲ τὸν Δημάρατον ὀργῇ διὰ τὸ αἴτημα τοῦ βασιλέως, καὶ δοκοῦντος ἀπαραιτήτως ἔχειν πρὸς αὐτόν, ὁ Θεμιστοκλῆς δεηθεὶς ἔπεισε καὶ διήλλαξε. Λέγεται δὲ καὶ τοὺς ὕστερον βασιλεῖς, ἐφ' ὧν μᾶλλον αἱ Περσικαὶ πράξεις ταῖς Ἑλληνικαῖς συνανεκράθησαν, ὁσάκις δεηθεῖεν ἀνδρὸς Ἕλληνος, ἐπαγγέλλεσθαι καὶ γράφειν ἕκαστον, ὡς μείζων ἔσοιτο παρ' αὐτῷ Θεμιστοκλέους. Αὐτὸν δὲ Θεμιστοκλέα φασί, ἤδη μέγαν ὄντα καὶ θεραπευόμενον ὑπὸ πολλῶν, λαμπρᾶς ποτε τραπέζης παρατεθείσης, πρὸς τοὺς παῖδας εἰπεῖν· "Ὦ παῖδες, ἀπωλόμεθ' ἄν, εἰ μὴ ἀπωλόμεθα.,, Πόλεις δ' αὐτῷ τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν, εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα. Δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην.

λ'. Καταβαίνοντι δ' αὐτῷ πρὸς τὰς Ἑλληνικὰς πράξεις ἐπὶ θάλατταν, Πέρσης ἀνήρ, Ἐπιξύης ὄνομα, σατραπεύων τῆς ἄνω Φρυγίας, ἐπεβούλευσε, παρεσκευακὼς ἔκπαλαι Πισίδας ἀποκτενοῦντας, ὅταν ἐν τῇ καλουμένῃ πόλει Λεοντοκεφάλῳ γενόμενος καταυλισθῇ. Τῷ δὲ λέγεται καθεύδοντι μεσημβρίας τὴν Μητέρα τῶν Θεῶν ὄναρ φανεῖσαν εἰπεῖν· "Ὦ Θεμιστόκλεις, ὑστέρει κεφαλῆς λεόντων, ἵνα μὴ λέοντι περιπέσῃς. Ἐγὼ δ' ἀντὶ τούτου σε αἰτῶ θεράπαιναν Μνησιπτολέμαν.,, Διαταραχθεὶς οὖν ὁ Θεμιστοκλῆς, προσευξάμενος τῇ Θεῷ, τὴν μὲν λεωφόρον ἀφῆκεν, ἑτέρᾳ δὲ περιελθών, καὶ παραλλάξας τὸν τόπον ἐκεῖνον, ἤδη νυκτὸς οὔσης κατηυλίσατο. Τῶν δὲ τὴν σκηνὴν κομιζόντων ὑποζυγίων ἑνὸς εἰς ποταμὸν ἐμπεσόντος, οἱ τοῦ Θεμιστοκλέους οἰκέται τὰς αὐλαίας διαβρόχους γενομένας ἐκπετάσαντες ἀνέψυχον· οἱ δὲ Πισίδαι τὰ ξίφη λαβόντες ἐν τούτῳ προσεφέροντο, καὶ τὰ ψυχόμενα πρὸς τὴν σελήνην οὐκ ἀκριβῶς ἰδόντες, ᾠήθησαν εἶναι τὴν σκηνὴν τὴν Θεμιστοκλέους, κἀκεῖνον ἔνδον εὑρήσειν ἀναπαυόμενον. Ὡς δ' ἐγγὺς γενο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαγαρεζάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μενοι τὴν αὐλαίαν ἀνέστελλον, ἐπιπίπτουσιν αὐτοῖς οἱ παραφυλάσσοντες, καὶ συλλαμβάνουσι. Διαφυγὼν δὲ τὸν κίνδυνον οὕτω, καὶ θαυμάσας τὴν ἐπιφάνειαν τῆς Θεοῦ, ναὸν κατεσκεύασεν ἐν Μαγνησίᾳ Δινδυμένης, καὶ τὴν θυγατέρα Μνησιπτολέμαν ἱέρειαν ἀπέδειξεν.

λά. Ὡς δ' ἦλθεν εἰς Σάρδεις, καὶ σχολὴν ἄγων ἐθεάσατο τῶν ἱερῶν τὴν κατασκευὴν, καὶ τῶν ἀναθημάτων τὸ πλῆθος, εἶδε καὶ ἐν Μητρὸς ἱερῷ τὴν καλουμένην ὑδροφόρον κόρην χαλκῆν, μέγεθος δίπηχυν, ἣν αὐτὸς, ὅτε τῶν Ἀθήνησιν ὑδάτων ἐπιστάτης ἦν, εὑρὼν τοὺς ὑφῃρημένους τὸ ὕδωρ καὶ παροχετεύσαντας, ἀνέθηκεν ἐκ τῆς ζημίας ποιησάμενος· εἴτε δὴ παθών τι πρὸς τὴν αἰχμαλωσίαν τοῦ ἀναθήματος, εἴτε βουλόμενος ἐνδείξασθαι τοῖς Ἀθηναίοις, ὅσην ἔχει τιμὴν καὶ δύναμιν ἐν τοῖς βασιλέως πράγμασι, λόγον τῷ Λυδίας σατράπῃ προσήνεγκεν, αἰτούμενος ἀποστεῖλαι τὴν κόρην εἰς τὰς Ἀθήνας. Χαλεπαίνοντος δὲ τοῦ βαρβάρου, καὶ βασιλεῖ γράψειν φήσαντος ἐπιστολὴν, φοβηθεὶς ὁ Θεμιστοκλῆς, εἰς τὴν γυναικωνῖτιν κατέφυγε, καὶ τὰς παλλακίδας αὐτοῦ θεραπεύσας χρήμασιν, ἐκεῖνόν τε κατεπράϋνε τῆς ὀργῆς, καὶ πρὸς τὰ ἄλλα παρεῖχεν ἑαυτὸν εὐλαβέστερον, ἤδη καὶ τὸν φθόνον τῶν βαρβάρων δεδοικώς. Οὐ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν, ὥς φησι Θεόπομπος, ἀλλ' ἐν Μαγνησίᾳ μὲν οἰκῶν, καρπούμενος δὲ δωρεὰς μεγάλας, καὶ τιμώμενος ὅμοια Περσῶν τοῖς ἀρίστοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι τοῖς Ἑλληνικοῖς πράγμασι προσέχοντος τοῦ βασιλέως, ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις. Ὡς δ' Αἴγυπτός τ' ἀφισταμένη, βοηθούντων Ἀθηναίων, καὶ τριήρεις Ἑλληνικαὶ μέχρι Κύπρου καὶ Κιλικίας ἀναπλεύσασαι, καὶ Κίμων θαλασσοκρατῶν ἐπέστρεψεν αὐτὸν ἀντεπιχειρεῖν τοῖς Ἕλλησι, καὶ κωλύειν αὐξανομένους ἐπ' αὐτὸν, ἤδη δὲ καὶ δυνάμεις ἐκινοῦντο καὶ στρατηγοὶ διεπέμποντο, καὶ κατέβαινον εἰς Μαγνησίαν ἀγγελίαι πρὸς Θεμιστοκλέα, τῶν Ἑλληνικῶν ἐξάπτεσθαι κελεύοντος βασιλέως, καὶ βεβαιοῦν τὰς ὑποσχέσεις· οὔτε δι' ὀργήν τινα παροξυνθεὶς κατὰ τῶν πολιτῶν, οὔτ' ἐπαρθεὶς τιμῇ τοσαύτῃ καὶ δυνάμει πρὸς τὸν πόλεμον, ἀλλ' ἴσως



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μὲν οὐκ ἐφικτὸν ἡγούμενος τὸ ἔργον, ἄλλως τε μεγάλους τῆς Ἑλλάδος ἐχούσης σνρατηγοὺς τότε, καὶ Κίμωνος ὑπερφυῶς εὐημεροῦντος ἐν τοῖς Ἑλληνικοῖς· τὸ δὲ πλεῖστον, αἰδοῖ τῆς τε δόξης τῶν πράξεων ἑαυτοῦ, καὶ τῶν τροπαίων ἐκείνων, ἄριστα βουλευσάμενος ἐπιθεῖναι τῷ βίῳ τὴν τελευτὴν πρέπουσαν, ἔθυσε τοῖς Θεοῖς, καὶ τοὺς φίλους συναγαγὼν, καὶ δεξιωσάμενος, ὡς μὲν ὁ πολὺς λόγος, αἷμα ταύρειον πιὼν, ὡς δ' ἔνιοι, φάρμακον ἐφήμερον προσενεγκάμενος, ἐν Μαγνησίᾳ κατέστρεψε, πέντε πρὸς τοῖς ἑξήκοντα βεβιωκὼς ἔτη, και τὰ πλεῖστα τούτων ἐν πολιτείαις καὶ ἡγεμονίαις. Τὴν δ' αἰτίαν τοῦ θανάτου καὶ τὸν τρόπον πυθόμενον βασιλέα λέγουσιν ἔτι μᾶλλον θαυμάσαι τὸν ἄνδρα, καὶ τοῖς φίλοις αὐτοῦ καὶ οἰκείοις χρώμενον διατελεῖν φιλανθρώπως.

λβ'. Ἀπέλιπε δὲ Θεμιστοκλῆς παῖδας, ἐκ μὲν Ἀρχίππης τῆς Λυσάνδρου τοῦ Ἀλωπεκῆθεν, Ἀρχέπτολιν καὶ Πολύευκτον, καὶ Κλεόφαντον· οὗ καὶ Πλάτων ὁ Φιλόσοφος ὡς ἱππέως ἀρίστου, τἆλλα δ' οὐδενὸς ἀξίου γενομένου μνημονεύει. Τῶν δὲ πρεσβυτάτων, Νεοκλῆς μὲν, ἔτι παῖς ὢν, ὑφ' ἵππου δηχθεὶς ἀπέθανε, Διοκλέα δὲ Λύσανδρος ὁ πάππος υἱὸν ἐποιήσατο. Θυγατέρας δὲ πλείους ἔσχεν, ὧν Μνησιπτολέμαν μὲν, ἐκ τῆς ἐπιγαμηθείσης γενομένην, Ἀρχέπτολις ὁ ἀδελφὸς, οὐκ ὢν ὁμομήτριος, ἔγημεν· Ἰταλίαν δὲ Πανθείδης ὁ Χῖος, Σύβαριν δὲ Νικομήδης Ἀθηναῖος· Νικομάχην δὲ Φρασικλῆς ὁ ἀδελφιδοῦς Θεμιστοκλέους, ἤδη τετελευτηκότος ἐκείνου, πλεύσας εἰς Μαγνησίαν, ἔλαβε παρὰ τῶν ἀδελφῶν, νεωτάτην δὲ πάντων τῶν τέκνων Ἀσίαν ἔθρεψε. Καὶ τάφον μὲν αὐτοῦ λαμπρὸν ἐν τῇ ἀγορᾷ Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν ἄξιον, ἐν τῷ Πρὸς τοὺς ἑταίρους λέγοντι, φωράσαντας τὰ λείψανα διαῤῥίψαι τοὺς Ἀθηναίους (ψεύδεται γὰρ, ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικοὺς), ὅ τε Φύλαρχος, ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱστορίᾳ μονονοὺ μηχανὴν ἄρας, καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν, υἱοὺς Θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, ὃ οὐδ' ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται. Διόδωρος δ' ὁ περιηγητὴς ἐν τοῖς Περὶ τῶν μνημάτων εἴρηκεν, ὡς ὑπονοῶν μᾶλλον, ἢ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

γινώσκων, ὅτι περὶ τὸν λιμένα τοῦ Πειραιῶς ἀπὸ τοῦ κατὰ τὸν Ἄλκιμον ἀκρωτηρίου, πρόκειταί τις οἷον ἀγκών, καὶ κάμψαντι τοῦτον ἐντὸς, ᾗ τὸ ὑπεύδιον τῆς θαλάττης, κρηπίς ἐστιν εὐμεγέθης, καὶ τὸ περὶ αὐτὴν βωμοειδὲς, τάφος τοῦ Θεμιστοκλέους. Οἴεται δὲ καὶ Πλάτωνα τὸν κωμικὸν αὐτῷ μαρτυρεῖν ἐν τούτοις·

Ὁ σὸς δὲ τύμβος, ἐν καλῷ κεχωσμένος,
Τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ,
Τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται,
Χὠπόταν ἅμιλλα τῶν νεῶν, θεάσεται.

Τοῖς δ' ἀπὸ γένους τοῦ Θεμιστοκλέους καὶ τιμαί τινες ἐν Μαγνησίᾳ φυλαττόμεναι μέχρι τῶν ἡμετέρων χρόνων ἦσαν, ἃς ἐκαρποῦτο Θεμιστοκλῆς Ἀθηναῖος, ἡμέτερος συνήθης καὶ φίλος παρ' Ἀμμωνίῳ τῷ φιλοσόφῳ γενόμενος.

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ.

(Ἀπόσπασμα)

Πατρὸς μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως (ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κληΐζονται)· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. Φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γεμὴν ἐν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Περσῶν νόμοις. Οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι· οὐχ ὁμοίως γὰρ ταῖς πλείσταις πόλεσιν ἄρχονται. Αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τὶς ἐθέλοι τοὺς ἑαυτοῦ παῖδας, καὶ τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν, ἐπιτάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἄλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τὶ παραβαίνῃ, ζημίας αὐτοῖς ἐπέθεσαν. Οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες, ἐπιμέλονται ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, ὥστε πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ ἐφίεσθαι. Ἐπιμέλονται δὲ ὧδε· Ἔστιν αὐτοῖς Ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. Ἐντεῦθεν τὰ μὲν ὤνια, καὶ οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον· ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. Διήρηται δὲ αὕτη ἡ ἀγορά, ἡ περὶ τὰ ἀρχεῖα, εἰς τέτταρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισίν, ἓν δὲ ἐφήβοις, ἄλλο τελείοις ἀνδράσιν, ἄλλο τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. Νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες, ἅμα τῇ ἡμέρᾳ, καὶ οἱ τέλειοι ἄνδρες· οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς παρεῖναι. Οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν μὴ προῤῥηθῇ παρεῖναι· οὔτε πολλάκις ἀπεῖναι καλόν. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσὶ δώδεκα (δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διήρηνται)· καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ γεραιτέρων ᾑρημένοι εἰσίν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίους ἂν ἀποδεικνῦναι· ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὐτοὺς τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ αὐτοὶ τὰ καθήκοντα ἀποτελῶσιν. Ἃ δὲ ἑκάστη ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένη-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ται, ἢ ἐπιμέλονται ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται.

Οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες δικαιοσύνην, καὶ λέγουσιν ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες οὕτων διατελοῦσι τὸ πλεῖστον μέρος τῆς ἡμέρας δικάζοντες αὐτοῖς. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, καὶ ἄλλων οἵων εἰκός. Οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. Κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας· καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ τοὺς ἀχαρίστους, καὶ περὶ Θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους καὶ πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες· καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν, ἄρτον, ὄψον δὲ, κάρδαμον· πιεῖν δὲ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι τοξεύειν καὶ ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν· ἐκ τούτου δὲ εἰς τοὺς ἐφήβους ἐξέρχονται. Οὗτοι δ' αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε.

Δέκα ἔτη, ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα·

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τῆς πόλεως καὶ σωφροσύνης (δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι)· παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι, ἥν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ· καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. Ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα παρὰ τὴν φαρέτραν, καὶ ἐν κολεῷ κοπίδα ἢ σάγαριν· ἔτι δὲ καὶ γέρρον, καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δ' ἂν δέῃ, ἐκ χειρὸς χρῆσθαι. Διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς, ὥσπερ καὶ ἐν πολέμῳ, ἡγεμὼν αὐτοῖς ἐστι, καὶ αὐτός τε θηρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται ὅπως ἂν θηρῷεν, ὅτι ἀληθεστάτη δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. Καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει, καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι, γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις· ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον, καὶ ἀκοντίσαι ὅπου ἂν παραπίπτῃ. Καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δεῖ τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν τί ἐν τῇ θήρᾳ ἄπεστι τῶν ἐν πολέμῳ παρόντων. Ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν ἄριστον ἔχοντες πλεῖον μὲν, ὡς τὸ εἰκὸς, τῶν παίδων, τἆλλα δὲ ὅμοιον. Καὶ θηρῶντες μὲν, οὐκ ἂν ἀριστήσαιεν· ἢν δέ τι δέῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρίψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες, τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου· καὶ μίαν ἄμφω ταύτας τὰς ἡμέρας λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ ἐάν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. Καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι ὅ,τι ἂν θηράσωσιν· εἰ δὲ μὴ, τὸ κάρδαμον. Εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ διψῶντι πιεῖν. Αἱ δ' αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλ' ἃ παῖδες ὄντες ἔμαθον, καὶ τοξεύειν καὶ ἀκοντίζειν· καὶ διαγωνιζόμενοι ταῦτα πρὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες, καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε. Χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ, ἤν τι ἢ φρουρῆσαι δέησῃ, ἢ κακούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλο τι, ὅσα ἰσχύος ἢ τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. Ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας.

Ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε. Πρῶτον μὲν, ὥσπερ οἱ ἔφηβοι, παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. Ἢν δέ που δέησῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ, στρατεύονται· τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις, καὶ γέῤῥον ἐν τῇ ἀριστερᾷ, οἷόν περ γράφονται οἱ Πέρσαι ἔχοντες· ἐν δὲ τῇ δεξιᾷ, μάχαιραν ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. Ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. Οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ πάντα καὶ τὰ ἴδια. Καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις, ἢ ἐν τελείοις ἀνδράσιν, ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος. Οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς, ἄτιμος τὸν λοιπὸν βίον διατελεῖ.

Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη, διὰ τὰ προειρημένα. Λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. Ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας, πέμπουσιν· οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμπουσιν. Οἳ δ' ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι· τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. Οἳ δ' ἂν ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναυλίζεσθαι, καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν· οἳ δ' ἂν αὖ ἐν τοῖς παισὶ μὴ διατελέσωσιν, ἢ ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τελείους· οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. Οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίστανται· καὶ ἡ πολιτεία αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. Καὶ νῦν δὲ ἔτι ἐμμένει μαρτυρία καὶ τῆς μετρίας διαίτης αὐτῶν, καὶ τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι Πέρσαις καὶ τὸ ἀποπτύειν, καὶ τὸ ἀπομύττεσθαι, καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι· αἰσχρὸν δὲ ἔτι καὶ τὸ ἰόντα που φανερὸν γενέσθαι ἢ τοῦ οὐρῆσαι ἕνεκα, ἢ καὶ ἄλλου τινὸς τοιούτου. Ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ ποι ἀποχωρεῖν. Ταῦτα μὲν δὴ κατὰ πάντων Περσῶν ἔχομεν λέγειν· οὗ δὲ ἕνεκα ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου πράξεις, ἀρξάμενοι ἀπὸ παιδός.

Κῦρος μὲν γὰρ μέχρι δώδεκα ἐτῶν, ἢ ὀλίγῳ πλεῖον, ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. Ὡς δὲ ἀφίκετο τάχιστα, καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόστοργος ὢν φύσει, ἠσπάζετό τε αὐτὸν, ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο· καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ, καὶ χρώματος ἐντρίψει, καὶ κόμαις προσ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

θέτοις, ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις (ταῦτα γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες, καὶ οἱ κάνδυες, καὶ οἱ στρεπτοὶ περὶ τῇ δέρῃ, καὶ τὰ ψέλλια περὶ ταῖν χεροῖν· ἐν Πέρσαις δὲ τοῖς οἴκοι, καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι, καὶ δίαιται εὐτελέστεραι), ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ, ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος. Ἐρωτώσης δὲ τῆς μητρὸς αὐτὸν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατὴρ ἢ οὗτος, ἀπεκρίνατο ἄρα ὁ Κῦρος, Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, Μήδων μέντοι, ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις, πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. Ἀντασπαζόμενος δὲ αὐτὸν ὁ Ἀστυάγης, καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ στρεπτοῖς καὶ ψελλίοις ἐτίμα καὶ ἐκόσμει· καὶ εἴ που ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ· καὶ ἱππεύειν μανθάνων, ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ, διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους, καὶ ἱππεύειν, ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ καὶ ἰδεῖν ἵππον πάνυ σπάνιον ἦν. Δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧσσον τὰ οἴκαδε ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας, καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν, Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δέ; φάναι τὸν Ἀστυάγην, Οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται. Οὐχὶ, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι ἢ παρ' ὑμῖν. Ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέας εἰς τοῦτο ἄγει, ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι, μόλις ἀφικνεῖσθε ὅποι ἡμεῖς πάλαι ἥκομεν. Ἀλλ', ὦ παῖ, φάναι τὸν Ἀστυάγην, οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα· γευόμενος δ', ἔφη, καὶ σὺ γνώσῃ ὅτι ἡδέα ταῦτά ἐστιν.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Ἀλλὰ καί σε φάναι τὸν Κῦρον, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα ὁρῶ. Καὶ τὸν Ἀστυάγην ἐπερέσθαι· Καὶ τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, ταῦτα λέγεις; Ὅτι σὲ, φάναι, ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον· ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρεις τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος ὅτι καταπλέα σοι ἀπ' αὐτῶν ἐγένετο. Πρὸς ταῦτα δὴ τὸν Ἀστυάγην εἰπεῖν· εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς. Ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν, καὶ θήρεια καὶ τῶν ἡμέρων. Καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν· Ἦ καὶ δίδως, φάναι, μοι, ὦ πάππε, ταῦτα πάντα τὰ κρέα, ὅ, τι ἂν βούλωμαι αὐτοῖς χρῆσθαι; Νὴ Δία, φάναι, ἐγώ σοι ὦ παῖ. Ἐνταῦθα δὴ τὸν Κῦρον λαβόντα τῶν κρεῶν, διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς ἐπιλέγοντα ἑκάστῳ· Σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις· Σοὶ δὲ, ὅτι μοι παλτὸν ἔδωκας (τοῦτο γὰρ νῦν ἔχω)· Σοὶ δὲ, ὅτι τὸν πάππον καλῶς θεραπεύεις· Σοὶ δὲ, ὅτι μου τὴν μητέρα τιμᾷς τοιαῦτα ποιεῖν, ἕως διεδίδου πάντα ἃ ἔλαβε κρέα. Σάκᾳ δὲ, φάναι τὸν Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃ ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως; Ὁ δὲ Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε, καὶ τιμὴν ἔχων προσάγειν τοὺς δεομένους Ἀστυάγους, καὶ ἀποκωλύειν οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. Καὶ τὸν Κῦρον ἐπερέσθαι προπετῶς, ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, Διὰ τί ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; Καὶ τὸν Ἀστυαγην σκώψαντα εἰπεῖν· Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως; Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρίως ἐγχέουσι, καὶ διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην, καὶ προσφέρουσιν, ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλλοντι πίνειν. Κέλευσον δὴ, φάναι, ὦ πάππε, τῷ Σάκᾳ, καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα· ἵνα κἀγὼ καλῶς σοι πιεῖν ἐγχέας, ἀνακτήσωμαί σε, ἢν δύνωμαι. Καὶ τὸν κελεῦσαι δοῦναι. Λαβόντα δὲ τὸν Κῦρον, οὕτω μὲν εὖ κλύσαι τὸ ἔκπωμα, ὥσπερ τὸν Σάκαν ἑώρα, οὕτω δὲ στήσαντα τὸ πρόσωπον σπουδαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγῃ πολὺν γέλωτα παρέσχειν. Καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδίδωσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταῤῥοφοῦσι· τοῦ δὲ, εἰ φάρμακα ἐκχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων ἔφη, Καὶ τί δὴ, ὦ Κῦρε, τὰ ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπεῤῥόφησας τοῦ οἴνου; Ὅτι νὴ Δί', ἔφη, ἐδεδοίκειν μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γὰρ ὅτε εἱστίας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. Καὶ πῶς δὴ, ἔφη, σὺ ὦ παῖ, τοῦτο κατέγνως; Ὅτι νὴ Δί', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γὰρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ᾔδετε δὲ καὶ μάλα γελοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι, ἐδύνασθε. Ἐπιλέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε. Καὶ ὁ Ἀστυάγης εἶπεν, Ὁ δὲ σὸς πατὴρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γὰρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν, Ἀλλὰ τί ποτε σὺ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς; Τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν. πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι, Στὰς ἂν, ὥσπερ οὗτος ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ὁπότε βούλοιτο εἰσιέναι ἐπ' ἄριστον, λέγοιμ' ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυγεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἄν, ὅτι λοῦται. Εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἄν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρατείνει, ἀπὸ σοῦ κωλύων. Τοιαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον, ἢ τὸν τῆς μητρὸς ἀδελφὸν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ, τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

Ἐπειδὴ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν νομίζειν εἶναι καταλιπεῖν. Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ' ἐμοὶ, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοὶ οὐ Σάκας ἄρξει, ἀλλ' ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμὲ, ἐπὶ σοὶ ἔσται· καὶ χάριν σοὶ, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, ἔχων ἄπει οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ, ἐν τῷ δείπνῳ, ἐπὶ τὸ μετρίως σοὶ δοκοῦν ἔχειν, ὁποίαν βούλει ὁδὸν πορεύσῃ. Ἔπειτα τάτε νῦν ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ, ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ, καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίκτορας παρέξω· καὶ ἄλλα ὅσα ἂν βούλῃ λέγων πρὸς ἐμὲ οὐκ ἀτυχήσεις. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερα βούλοιτο μένειν, ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρὸς, Διὰ τί; Εἰπεῖν λέγεται, Ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀκοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω ἐνθάδε, πειράσομαι τῷ πάππῳ ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς, συμμαχεῖν αὐτῷ. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοι τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, Ἀλλ', ὦ μῆτερ ἀκριβῶς ταύτης γε οἶδα. Πῶς σὺ οἶσθα; εἰπεῖν τὴν Μανδάνην. Ὅτι, φάναι, ὁ διδάσκαλός με, ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίστη δικάζειν. Καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιάδε· Παῖς μέγας μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτὸ, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ γοῦν τούτοις δικάζων, ἔγνων βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. Ἐν δὲ τούτῳ με ἔπαισεν ὁ διδάσκαλος, λέγων ὅτι ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος κριτὴς, οὕτω δέοι ποιεῖν, ὁπότε δὲ κρίναι δέοι, ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστι· πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον, ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη τὸ μὲν νόμιμον, δίκαιον εἶναι, τὸ δὲ ἄνομον, βίαιον. Σὺν τῷ νόμῳ οὖν ἐκέλευε δεῖν τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. Οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τάγε δίκαια παντάπασιν οἶδα ἀκριβῶς· ἢν τέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει. Ἀλλ' οὐ ταὐτὰ, ἔφη, ὦ παῖ, παρά τε τῷ πάππῳ δίκαια, καὶ ἐν Πέρσαις ὁμολογεῖται. Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν πεποίηκεν· ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. Καὶ ὁ σὸς πρῶτος πατὴρ τεταγμένα μὲν ποιεῖ, ἃ ποιεῖ τῇ πόλει· τεταγμένα δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχὴ, ἀλλ' ὁ νόμος ἐστίν· Ὅπως οὖν μὴ ἀποτελῇ μαστιγούμενος, ἐπειδὰν οἴκοι εἴης, ἂν παρὰ τούτου μαθὼν ἥκης ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικὸν, ἐν ᾧ ἐστι τὸ πλέον οἴεσθαι χρῆναι ἁπάντων ἔχειν. Ἀλλ' ὅγε σὸς πατὴρ, εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν μεῖον ἢ πλεῖον ἔχειν. Ἢ οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν ἑαυτοῦ μεῖον ἔχειν; Ὥστε θάρσει, ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλον οὐδένα,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψεται.

Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δέ, ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, ὥστε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο προσιών, καὶ ἔνδηλος ὢν ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς· ὥστε καὶ εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον Κύρου δεῖσθαι διαπράξασθαι σφίσιν. Ὁ δὲ Κῦρος, ὅ,τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν, περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι. Καὶ ὁ Ἀστυάγης δέ, ὅ,τι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν, μὴ οὐ χαρίζεσθαι. Καὶ γὰρ ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· δῆλός τε ἦν πᾶσιν ὅτι ὑπερεφοβεῖτο, μὴ οἱ ὁ πάππος ἀποθάνοι. Καὶ γὰρ ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων ὅ,τι οἴοιτο χαριεῖσθαι· ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην.

Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι· ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνατο· ὥστε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ' ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι αὐτοῖς νεαρόν, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότητος καὶ φιλοστοργία· ὥστε ἐπιθυμίαν τις εἶχεν ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι. Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτόν, σὺν τῷ μεγέθει, εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ· αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ τὸ σκυλακῶδες, τὸ πᾶσιν ὁμοίως προπίπτειν, οὐκέτι ὁμοίως προπετῶς εἶχεν. Οὕτω δὲ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους,

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

οὐχ ἃ κρείσσων ᾔδει ὤν, ταῦτα προὐκαλεῖτο τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν. Καὶ κατῆρχεν ἤδη ἀναπηδῶν ἐπὶ τοὺς ἵππους, ἢ διακοντιούμενος, ἢ διατοξευσόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔποχος ὤν· ἡττώμενος δέ, αὐτὸς ἐφ' ἑαυτοῦ μάλιστα ἐγέλα. Ὡς δ' οὐκ ἀπεδίδρασκεν, ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν ἃ ἡττῷτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἡλικιώταις· ταχὺ δὲ παρῄει, διὰ τὸ ἐρᾶν τοῦ ἔργου· ταχὺ δὲ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει, διώκων καὶ βάλλων καὶ κατακαίνων· ὥστε ὁ Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος αἰσθόμενος ὅτι βουλόμενος οὐ δύναιτό οἱ ζῶντα παρέχειν, πολλάκις ἔλεγε πρὸς αὐτόν, Ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα πράγματα ἔχειν; Ἀλλὰ ἢν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θηρία, σέ μοι ταῦτα τρέφειν. Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκεθ' ὁμοίως λιπαρεῖν ἐδύνατο, ὥσπερ παῖς ὤν, ἀλλ' ὀκνηρότερον προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ προΐδοι, εἰ καιρὸς εἴη· καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐν καιρῷ εἴη εἰσιέναι, καὶ ὁπότε οὐκ ἐν καιρῷ· ὥστε ὁ Σάκας ἤδη ὑπερεφίλει αὐτόν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες.

Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα τῆς ἔξω θήρας, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν φυλάττοιεν αὐτόν, καὶ εἴ τῶν ἀγρίων τι φανείη θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαῤῥοῦντα διώκειν. Οἱ δ' ἔλεγον ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν, καὶ λέοντες καὶ κάπροι καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι, καὶ δορκάδες, καὶ ἄγριοι οἶες, καὶ οἱ ὄνοι οἱ ἄγριοι, ἀσινεῖς εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. Καὶ ὁ Κῦρος ταῦτα πάντα ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν,

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

πάντων ἐπιλαθόμενος ὧν ἤκουεν, ἐδίωκεν, οὐδὲν ἄλλο ὁρῶν ἢ ὅποι ἔφευγε. Καί πως διαπηδῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν· οὐ μὴν ἀλλ' ἐπέμενεν ὁ Κῦρος μόλις πως, καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δὲ εἰς τὸ πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα. Ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες ἐλοιδόρουν αὐτόν, καὶ ἔλεγον εἰς οἷον κίνδυνον ἔλθοι· καὶ ἔφασαν κατερεῖν αὐτοῦ τῷ πάππῳ. Ὁ οὖν Κῦρος εἱστήκει, καταβεβηκώς, καὶ ἀκούων ταῦτα ἠνιᾶτο. Ὡς δ' ᾔσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον, ὥσπερ ἐνθουσιῶν· καὶ ὡς εἶδεν ἐκ τοῦ ἐναντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει· καὶ διατεινάμενος εὐστόχως, βάλλει εἰς τὸ μέτωπον, καὶ κατέσχε τὸν κάπρον. Ἐνταῦθα μέντοι ἤδη καὶ ὁ θεῖος αὐτῷ ἐλοιδορεῖτο, τὴν θρασύτητα ὁρῶν. Ὁ δ' αὐτοῦ λοιδορουμένου, ὅμως ἐδεῖτο, ὅσα αὐτὸς ἔβαλε, ταῦτα ἐᾶσαι αὐτὸν δοῦναι εἰσκομίσαντα τῷ πάππῳ. Τὸν δὲ θεῖον εἰπεῖν φασίν, Ἀλλ' ἢν αἴσθηται ὅτι ἐδίωκες, οὐ σὺ μόνον, ἀλλὰ καὶ ἐμοὶ λοιδορήσεται, ὅτι σε εἴων. Κἂν βούληται, φάναι αὐτόν, Μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. Καὶ σύ γε εἰ βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος ὅ,τι βούλει, τοῦτο ὅμως χάρισαί μοι. Καὶ ὁ Κυαξάρης μέντοι τελευτῶν εἶπε. Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι. Οὕτω δὴ ὁ Κῦρος εἰσκομίσας τὰ θηρία, ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν, ὅτι αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ. Καὶ τὰ ἀκόντια ἐδείκνυε μὲν οὔ, κατέθηκε δὲ ἡματωμένα, ὅπου ᾤετο τὸν πάππον ὄψεσθαι. Ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως, ὅσα μοι δίδως· οὐ μέντοι δέομαί γε τούτων οὐδενός, ὥστε σὲ κινδυνεύειν. Καὶ ὁ Κῦρος ἔφη, Εἰ τοίνυν μὴ σὺ δέῃ, ἱκετεύω, ὦ πάππε, ἐμοὶ δὸς αὐτά, ὅπως ἐγὼ διαδῶ τοῖς ἡλικιώταις. Ἀλλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης καὶ ταῦτα λαβὼν διαδίδου ὅτῳ σὺ βούλει, καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις. Καὶ ὁ Κῦρος λαβών, ἐδίδου τε ἄρα τοῖς παισί, καὶ ἅμα ἔλεγεν.

Ὦ παῖδες, ὡς ἄρα ἐφλυαροῦμεν ὅτε τὰ ἐν τῷ παραδείσῳ θηρία ἐθηρῶμεν· ὅμοιον γὰρ ἔμοιγε δοκεῖ εἶναι, οἷόνπερ εἴ τις δεδεμένα ζῷα θηρῴη. Πρῶτον μὲν γὰρ ἐν μι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

κρῷ χωρίῳ ἦν· ἔπειτα καὶ μικρὰ καὶ ψωραλέα· καὶ τὸ μὲν αὐτῶν, χωλὸν ἦν· τὸ δὲ κολοβόν. Τὰ δ' ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία, ὡς μὲν καλά, ὡς δὲ μεγάλα, ὡς δὲ λιπαρὰ ἐφαίνετο. Καὶ αἱ μὲν ἔλαφοι, ὥσπερ πτηναί, ἥλλοντο πρὸς τὸν οὐρανόν· οἱ δὲ κάπροι, ὥσπερ τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους, ὁμόσε ἐφέροντο· ὑπὸ δὲ τῆς πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόν τε ἦν αὐτῶν· καλλίω δέ, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα ταῦτα εἶναι, ἢ ζῶντα ἐκεῖνα τὰ περιωκοδομημένα. Ἀλλ' ἆρα ἄν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ τὴν θήραν; Καὶ ῥᾳδίως γ' ἄν, ἔφασαν, εἰ Ἀστυάγης κελεύοι. Καὶ ὁ Κῦρος εἶπε, Τίς ἂν οὖν ὑμῶν πρὸς Ἀστυάγην μνησθείη; Τίς γὰρ ἄν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι; Ἀλλὰ μὰ τὸν Δία, ἔφη, ἐγὼ μὲν οὐκ οἶδ' ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ λέγειν οἷός τ' εἰμί, οὐδ' ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι. Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι. Παιδάριον δὲ ὤν, δεινότατον λαλεῖν ἐδόκουν εἶναι. Καὶ οἱ παῖδες εἶπον, Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδὲ ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσῃ πράττειν, ἀλλ' ἄλλου τινὸς ἡμᾶς τὸ ἐπὶ σοὶ ἀνάγκη δεῖσθαι. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, ἐδήχθη· καὶ σιγῇ ἀπελθών, διακελευσάμενος ἑαυτῷ τολμᾶν, εἰσῆλθεν, ἐπιβουλεύσας ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισὶν ὧν ἐδέοντο. Ἤρξατο οὖν ὧδε.

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδράσῃ τῶν οἰκετῶν, καὶ λάβῃς αὐτόν, Τί αὐτῷ χρήσῃ; Τί δὴ ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω; Ἢν δὲ αὐτόματός σοι πάλιν ἐπέλθῃ, πῶς ποιήσεις; Τί δὲ ἔφη, ἢ μαστιγώσας αὐτόν γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἔπειτα ἐξ ἀρχῆς πάλιν αὐτῷ χρήσομαι; Ὥρα οὖν, ἔφη ὁ Κῦρος, παρασκευάζεσθαί σοι εἴη ὅτῳ μαστιγώσεις με, ὡς βουλευόμενόν γε ὅπως ἀποδρῶ, λαβὼν τοὺς ἐμοὺς ἡλικιώτας ἐπὶ θήραν. Καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας προειπών· ἔνδοθεν γὰρ ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γάρ, ἔφη εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι. Ἀκούσας ταῦτα ὁ Κῦρος, ἐπείθετο μὲν καὶ ἔμενεν· ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὤν, σιωπῇ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

διῆγεν. Ὁ μέντοι Ἀστυάγης, ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίσασθαι, ἐξάγει ἐπὶ θήραν. Καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας, καὶ τοὺς παῖδας, καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία, ἐποίησε μεγάλην θήραν. Καὶ βασιλικῶς δὴ αὐτὸς παρὼν, ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη βάλλων. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν· ἀλλ' εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾷν, ἄφες πάντας τοὺς κατ' ἐμὲ διώκειν καὶ διαγωνίζεσθαι, ὅπως ἕκαστος τὰ κράτιστα δύναιτο. Ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι· καὶ στὰς ἐθεᾶτο τοὺς ἁμιλλωμένους ἐπὶ τὰ θηρία, καὶ φιλονεικοῦντας, καὶ διώκοντας, καὶ ἀκοντίζοντας. Καὶ τῷ Κύρῳ ἥδετο, οὐ δυναμένῳ σιγᾷν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥσπερ σκύλακι γενναίῳ, ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ᾐσθάνετο οὐδ' ὁπωστιοῦν φθονερῶς. Τέλος δ' οὖν, πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης ἀπῄει. Καὶ τολοιπὸν οὕτως ἥσθη τῇ τότε θήρᾳ, ὥστε ἀεὶ, ὁπότε οἷόν τε εἴη, συνεξῄει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρελάμβανε, καὶ τοὺς παῖδας, Κύρου ἕνεκα. Τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενί.

Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη αὐτοῦ γενομένου, ὁ υἱὸς τοῦ τῶν Ἀσσυρίων βασιλέως, γαμεῖν μέλλων, ἐπεθύμησεν αὐτὸς θηράσαι εἰς τοῦτον τὸν χρόνον. Ἀκούων οὖν ἐν τοῖς μεθορίοις τοῖς αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι, ἅτε ἀθήρευτα ὄντα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. Ὅπως οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελταστὰς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων τὰ θηρία ἐξελᾷν εἰς τὰ ἐργάσιμά τε καὶ εὐήλατα. Ἀφικόμενος δὲ ὅπου ἦν αὐτῷ τὰ φρούρια καὶ ἡ φυλακὴ, ἐνταῦθα ἐδειπνοποιεῖτο, ὡς πρωῒ τῇ ὑστεραίᾳ θηράσων. Ἤδη δὲ ἑσπέρας γενομένης, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρχεται ἐκ πόλεως, καὶ πεζοὶ καὶ ἱππεῖς. Ἔδοξεν οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι, δύο μὲν φυλακαὶ ὁμοῦ οὖσαι, πολλοὶ δὲ οὓς αὐτὸς ἔχων ἧκεν ἱππέας καὶ πεζούς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς Μηδικῆς· καὶ λαμπρότερόν τε ἂν φανῆναι τὸ ἔργον τῆς θήρας, καὶ ἱερείων πολλὴν ἀφθονίαν ἐνόμιζε γενήσεσθαι. Οὕτω δὴ πρωῒ ἀναστὰς, ἦγε τὸν στρατόν· καὶ τοὺς μὲν πεζοὺς καταλείπει ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ, ἐνταῦθα κατέμεινεν, ὡς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας· τοὺς δ' ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς ἄλλους ἄλλοσε καταθεῖν· καὶ ἐκέλευε περιβαλλομένους ὅτῳ τις ἐντυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν. Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

Σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐκβοηθεῖ καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτόν· καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις· καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους, καὶ τοὺς ἱππέας ἡσυχίαν ἄγοντας, ἔστησαν καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦρος ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδεὶ, ἐκβοηθεῖ καὶ αὐτὸς, πρῶτον τότε ὅπλα ἐνδὺς, οὔποτε οἰόμενος· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι. Καὶ γὰρ μάλα καλὰ ἦν, καὶ εὖ ἁρμόττοντα αὐτῷ, ἃ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο. Οὕτω δὴ ἐξοπλισάμενος, προσήλασε τῷ ἵππῳ. Καὶ ὁ Ἀστυάγης ἰδὼν, ἐθαύμασε μὲν τίνος κελεύσαντος ἥκοι· ὅμως δ' εἶπεν αὐτῷ μένειν παρ' ἑαυτῷ. Ὁ δὲ Κῦρος, ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο, Ἦ οὗτοι, ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις ἠρέμα; Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνοντες; Καὶ ἐκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ' οὖν πονηροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν ἱππαρίων, ἄγουσιν ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ στίφος τῶν ἱππέων ἕστηκε συντεταγμένον; οἳ, ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται πάλιν ἡμᾶς ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἰσχὺς πάρεστιν. Ἀλλ' ἢν σὺ μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προσβοηθοῦντας, φοβήσονται οὗτοι, καὶ οὐ κινήσονται· οἱ δ' ἄγοντες ἀφήσουσιν εὐθὺς τὴν λείαν, ἐπειδὰν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Ταῦτ' εἰπών, ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει. Καὶ ἅμα θαυμάζων ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει, κελεύει τὸν υἱὸν λαβόντα τάξιν ἱππέων ἐλάσαι ἐπὶ τοὺς ἄγοντας τὴν λείαν. Ἐγὼ δέ, ἔφη, ἐπὶ τούσδε, ἢν ἐπὶ σὲ κινῶνται, ἐλῶ· ὥστε ἀναγκασθήσονται ἡμῖν προσέχειν τὸν νοῦν. Οὕτω δὴ ὁ Κυαξάρης, λαβὼν τῶν ἐρρωμένων ἵππων τε καὶ ἀνδρῶν, προσελαύνει. Καὶ ὁ Κῦρος, ὡς εἶδεν ὁρμωμένους, συνεξορμᾷ εὐθύς· καὶ αὐτὸς πρῶτος ἡγεῖτο ταχέως, καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, καὶ οἱ ἄλλοι δὲ οὐκ ἀπελείποντο. Ὡς δὲ εἶδον αὐτοὺς πελάζοντας οἱ λεηλατοῦντες, εὐθὺς ἀφέντες τὰ χρήματα ἔφυγον. Οἱ δ' ἀμφὶ τὸν Κῦρον ὑπετέμνοντο, καὶ οὓς μὲν κατελάμβανον εὐθὺς ἔπαιον, πρῶτος δὲ ὁ Κῦρος· ὅσοι δὲ παραλλάξαντες αὐτῶν ἔφθασαν, κατόπιν τούτους ἐδίωκον, καὶ οὐκ ἀνίεσαν, ἀλλ' ᾕρουν τινὰς αὐτῶν. Ὥσπερ δὲ κύων γενναῖος, ἄπειρος, ἀπρονοήτως φέρεται πρὸς κάπρον, οὕτω καὶ ὁ Κῦρος ἐφέρετο, μόνον ὁρῶν τὸ παίειν τὸν ἁλισκόμενον, ἄλλο δ' οὐδὲν προνοῶν. Οἱ δὲ πολέμιοι, ὡς ἑώρων πονοῦντας τοὺς σφετέρους, προὐκίνησαν τὸ στῖφος, ὡς παυσομένου τοῦ διωγμοῦ, ἐπεὶ σφᾶς ἴδοιεν προσορμήσαντας. Ὁ δὲ Κῦρος οὐδὲν μᾶλλον ἀνίει, ἀλλ' ὑπὸ τῆς χαρμονῆς ἀνακαλῶν τὸν θεῖον, ἐδίωκε· καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἐποίει, κατέχων· Καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, ἴσως μὲν καὶ αἰσχυνόμενος τὸν πατέρα· καὶ οἱ ἄλλοι δὲ εἵποντο, προθυμότεροι ὄντες, ἐν τῷ τοιούτῳ, εἰς τὸ διώκειν, καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους ἄλκιμοι ὄντες. Ὁ δὲ Ἀστυάγης, ὡς ἑώρα τοὺς μὲν ἀπρονοήτως διώκοντας, τοὺς δὲ πολεμίους ἀθρόους τε καὶ τεταγμένους ἀπαντῶντας, δείσας περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου, μὴ εἰς παρεσκευασμένους ἀτάκτως ἐμπεσόντες πάθοιέν τι, ἡγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους. Οἱ δ' αὖ πολέμιοι, ὡς εἶδον τοὺς Μήδους προκινηθέντας, διατεινάμενοι, οἱ μὲν τὰ παλτά, οἱ δὲ τὰ τόξα, ἔστησαν, ὡς ἂν ἐπειδὴ εἰς τόξευμά γε ἀφίκοιντο στησομένους, ὥσπερ τὰ πλεῖστα εἰώθασι ποιεῖν. Μέχρι γὰρ τοσούτου, ὁπότε ἐγγύτατα γίγνοιντο, προσήλαυνον ἀλλήλοις, καὶ ἠκροβολίζοντο πολλάκις μέχρις ἑσπέρας. Ἐπεὶ δὲ ἑώρων τοὺς μὲν σφετέρους φυγῇ εἰς αὐτοὺς φερομένους, τοὺς δ' ἀμφὶ Κῦρον ὁμοῦ ἐπ' αὐτοὺς ἑπομένους, τὸν δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς γιγνόμενον

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἤδη τοξεύματος, ἐκκλίνουσι καὶ φεύγουσιν. Οἱ δὲ, ἅτε ὁμόθεν διώκοντες, ᾕρουν πολλοὺς ἀνακράτος· καὶ τοὺς μὲν ἁλισκομένους ἔπαιον, καὶ ἵππους καὶ ἄνδρας, τοὺς δὲ πίπτοντας κατέκαινον· καὶ οὐ πρόσθεν ἔστησαν πρὶν ἢ πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο. Ἐνταῦθα μέντοι δείσαντες μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέσχον. Ἐκ τούτου δὴ ἀνήγαγεν ὁ Ἀστυάγης, μάλα χαίρων τῇ ἱπποκρατίᾳ· καὶ τὸν Κῦρον οὐκ ἔχων ὅ,τι χρὴ λέγειν, αἴτιον μὲν εἰδὼς ὄντα τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. Καὶ γὰρ τότε ἀπιόντων οἴκαδε τῶν ἄλλων, μόνος ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο· καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτον ταχθέντες, προσήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ. Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγένετο· καὶ οἵ τε ἄλλοι πάντες τὸν Κῦρον διὰ στόματος εἶχον, καὶ ἐν λόγῳ, καὶ ἐν ᾠδαῖς· ὅτε Ἀστυάγης, καὶ πρόσθεν τιμῶν αὐτὸν, τότε ὑπερεξεπέπληκτο ἐπ' αὐτῷ.

Καμβύσης δὲ, ὁ τοῦ Κύρου πατὴρ, ἥδετο μὲν πυνθανόμενος ταῦτα· ἐπειδὴ δὲ ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαπραττόμενον τὸν Κῦρον, ἀπεκάλει, ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἀποτελοίη. Καὶ τὸν Κῦρον δὴ ἐνταῦθα λέγεται εἰπεῖν, ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄχθοιτο, καὶ ἡ πόλις μέμφοιτο. Τῷ οὖν Ἀστυάγει ἐδόκει ἀναγκαῖον εἶναι ἀποπέμπειν αὐτόν. Ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς, οὓς αὐτὸς ἐπεθύμει λαβεῖν, καὶ ἄλλα συσκευάσας παντοδαπὰ, ἀπέπεμπε, καὶ διὰ τὸ φιλεῖν αὐτὸν, καὶ ἅμα ἐλπίδας μεγάλας ἔχων ἐν αὐτῷ, ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φίλους ὠφελεῖν, καὶ ἐχθροὺς ἀνιᾷν. Ἀπιόντα δὲ τὸν Κῦρον προὔπεμπον ἅπαντες, καὶ παῖδες, καὶ ἥλικες, καὶ ἄνδρες, καὶ γέροντες, ἐφ' ἵππων, καὶ Ἀστυάγης αὐτός· καὶ οὐδένα ἔφασαν ὄντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι. Καὶ Κῦρον δὲ αὐτὸν σὺν πολλοῖς δακρύοις λέγεται ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναι αὐτὸν φασὶ τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει· τέλος δὲ, καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι, δηλῶν ὅτι τοῦτον μάλιστα ἠσπάζετο. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ δῶρα λέγεται Ἀστυάγει ἀπε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νεγκεῖν· Ἀστυάγην δὲ δεξάμενον Κύρῳ ἀποπέμψαι· τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους, καὶ εἰπεῖν, Ὦ πάππε, εἰ βούλει με καὶ πάλιν ἰέναι ὡς σὲ μὴ αἰσχυνόμενον, ἔα ἔχειν εἴτῳ τι ἐγὼ δέδωκα· Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα ποιῆσαι, ὥσπερ ὁ Κῦρος ἐπέστειλεν.

Εἰ δὲ δεῖ καὶ παιδικοῦ λόγου μνησθῆναι, λέγεται, ὅτε Κῦρος ἀπῄει, καὶ ἀπηλλάττοντο ἀπ' ἀλλήλων, τοὺς συγγενεῖς φιλοῦντας τὸν Κῦρον τῷ στόματι, ἀποπέμπεσθαι αὐτόν, νόμῳ Περσικῷ (καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι Πέρσαι)· ἄνδρα δή τινα τῶν Μήδων, μάλα καλὸν κἀγαθὸν ὄντα, ἐκπεπλῆχθαι πολὺν δὴ χρόνον ἐπὶ τῷ κάλλει τοῦ Κύρου· ἡνίκα δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦντας αὐτόν, ὑπολειφθῆναι· ἐπεὶ δὲ οἱ ἄλλοι ἀπῆλθον, προσελθεῖν τῷ Κύρῳ, καὶ εἰπεῖν, Ἐμὲ μόνον οὐ γινώσκεις, ὦ Κῦρε, τῶν συγγενῶν; Τί δέ, εἰπεῖν τὸν Κῦρον, Ἦ καὶ σὺ συγγενὴς εἶ; Μάλιστα, φάναι. Ταῦτ' ἄρα, εἰπεῖν τὸν Κῦρον, καὶ ἐνεώρας μοι· πολλάκις γὰρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα. Προσελθεῖν γάρ σοι ἀεὶ βουλόμενος, ἔφη, νὴ τοὺς θεούς, ᾐσχυνόμην. Ἀλλ' οὐκ ἔδει, φάναι τὸν Κῦρον, συγγενῆ γε ὄντα· ἅμα δὲ προσελθόντα φιλῆσαι αὐτόν. Καὶ τὸν Μῆδον φιληθέντα, ἐρέσθαι, Ἦ καὶ ἐν Πέρσαις νόμος ἐστὶν οὗτος συγγενεῖς φιλεῖν; Μάλιστα, φάναι, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου, ἢ ἀπίωσί ποι ἀπ' ἀλλήλων. Ὥρα ἂν εἴη σοι, ἔφη ὁ Μῆδος, πάλιν φιλεῖν ἐμέ· ἀπέρχομαι γάρ, ὡς ὁρᾷς, ἤδη. Οὕτω καὶ τὸν Κῦρον πάλιν φιλήσαντα, ἀποπέμπειν, καὶ ἀπιέναι. Καὶ ὁδόν τε οὔπω πολλὴν διεληλύσθαι αὐτοῖς, καὶ τὸν Μῆδον ἥκειν πάλιν ἱδροῦντι τῷ ἵππῳ. Καὶ τὸν Κῦρον ἰδόντα, Ἀλλ' ἤ, φάναι, ἐπελάθου τι ὧν ἐβούλου εἰπεῖν; Οὐ μὰ Δία, φάναι· ἀλλ' ἥκω διὰ χρόνου· Καὶ τὸν Κῦρον εἰπεῖν, Νὴ Δί', ὦ σύγγενες, δι' ὀλίγου γε. Ποίου ὀλίγου; εἰπεῖν τὸν Μῆδον. Οὐκ οἶσθα, φάναι, ὦ Κῦρε, ὅτι καὶ ὅσον σκαρδαμύττω χρόνον, πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τότε τοιοῦτον ὄντα; Ἐνταῦθα δὴ τὸν Κῦρον γελάσαι τε ἐκ τῶν πρόσθεν δακρύων, καὶ εἰπεῖν αὐτῷ ἀπιόντα θαῤῥεῖν, ὅτι παρέσται αὐτοῖς ὀλίγου χρόνου· ὥστε ὁρᾷν σοι ἐξέσται, κἂν βούλῃ, ἀσκαρδαμυκτεί.

Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν εἰς Πέρσας, ἐνιαυτὸν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μὲν λέγεται ἔτι ἐν τοῖς παισὶ γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν, ὡς ἡδυπαθεῖν μεμαθηκὼς ἐν Μήδοις ἥκοι. Ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων, ὥσπερ αὐτοὶ, ἡδέως, καὶ πίνοντα, καὶ εἴποτ' ἐν ἑορτῇ εὐωχία προσγένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ᾐσθάνοντο ἢ προσδεόμενον· καὶ πρὸς τούτοις δὲ, καὶ τἄλλα κρατιστεύοντα αὐτὸν ἑώρων περὶ ἅπαντα ἑαυτῶν, ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον οἱ ἥλικες αὐτῷ. Ἐπεὶ δὲ, διελθὼν τὴν παιδείαν ταύτην, ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν, καὶ μελετῶν ἃ χρὴ, καὶ καρτερῶν ἃ ἔδει, καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ πειθόμενος τοῖς ἄρχουσι.

Προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει· ὁ δὲ Κιαξάρης ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου μητρὸς ἀδελφὸς, τὴν ἀρχὴν ἔλαβε τῶν Μήδων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς, καταστρεψάμενος μὲν πάντας Σύρους, φῦλον οὐ μικρὸν, ὑπήκοον δὲ πεποιημένος τὸν Ἀραβίων βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ Ὑρκανίους, πολιορκῶν δὲ καὶ Βακτρίους, ἐνόμιζεν εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάντων γε ἂν τῶν πέριξ ῥᾳδίως ἄρξειν· ἰσχυρότατον γὰρ τῶν ἐγγὺς φύλων τοῦτο ἐδόκει εἶναι. Οὕτω δὴ διαπέμπεται πρός τε τοὺς ὑφ' ἑαυτὸν πάντας, καὶ πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα, καὶ πρὸς τὸν Καππαδόκων, καὶ πρὸς Φρύγας ἀμφοτέρους, καὶ πρὸς Κᾶρας, καὶ Παφλαγόνας, καὶ Ἰνδοὺς δὲ, καὶ πρὸς Κίλικας, τὰ μὲν καὶ διαβάλλων πρὸς αὐτοὺς Μήδους καὶ Πέρσας, λέγων ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ, καὶ συνεστηκότα εἰς τὸ αὐτὸ, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν, καὶ συνεστήκοιεν εἰς ἓν, καὶ κινδυνεύοιεν, εἰ μή τις αὐτοὺς φθάσας ἀσθενώσει, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντες καταστρέψασθαι. Οἱ μὲν δὴ καὶ τοῖς λόγοις τούτοις πειθόμενοι, συμμαχίαν αὐτῷ ποιοῦνται· οἱ δὲ, καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ καὶ ταῦτα ἦν αὐτῷ. Κυαξάρης δὲ ὁ τοῦ Ἀστυάγους παῖς, ἐπεὶ ᾐσθάνετο τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν αὐτῶν συνισταμένην ἐφ' ἑαυτὸν, αὐτός τε εὐθέως ὅσα ἐδύνατο παρασκευάζετο, καὶ εἰς Πέρσας δὲ ἔπεμπε πρός τε τὸ κοινὸν, καὶ πρὸς Καμβύσην

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τὸν τὴν ἀδελφὴν ἔχοντα, καὶ βασιλεύοντα ἐν Πέρσαις. Ἔπεμπε δὲ καὶ πρὸς Κῦρον, δεόμενος αὐτοῦ πειρᾶσθαι ἄρχοντα ἐλθεῖν τῶν ἀνδρῶν, εἴ τινας πέμποι στρατιώτας τὸ Περσῶν κοινόν. Ἤδη γὰρ καὶ ὁ Κῦρος, διατετελεκὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη, ἐν τοῖς ἀνδράσιν ἦν. Οὕτω δὴ δεξαμένου τοῦ Κύρου, οἱ βουλεύοντες γεραίτεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους στρατείας. Ἔδοσαν δὲ αὐτῷ διακοσίους τῶν ὁμοτίμων προσελέσθαι· τῶν δ' αὖ διακοσίων ἑκάστῳ, τέσσαρας ἄνδρας ἐν τῶν ὁμοίων ἔδοσαν προσελέσθαι· γίγνονται μὲν δὴ οὗτοι χίλιοι· τῶν δ' αὖ χιλίων τούτων ἔδοσαν προσελέσθαι ἑκάστῳ ἐκ τοῦ δήμου τῶν Περσῶν δέκα μὲν πελταστάς, δέκα δὲ σφενδονήτας, δέκα δὲ τοξότας. Καὶ οὕτως ἐγένοντο μύριοι μὲν τοξόται, μύριοι δὲ πελτασταί, μύριοι δὲ σφενδονῆται· χωρὶς δὲ τούτων οἱ χίλιοι ὑπῆρχον. Τοσαύτη μὲν δὴ στρατιὰ τῷ Κύρῳ ἐδόθη. Ἐπειδὴ δὲ ἡρέθη τάχιστα, ἤρξατο μὲν πρῶτον ἀπὸ τῶν θεῶν· καλλιερησάμενος δέ, τότε προσῃρεῖτο τοὺς διακοσίους. Ἐπεὶ δὲ προσείλοντο καὶ οὗτοι δὴ τοὺς τέσσαρας ἕκαστοι, συνέλεξεν αὐτούς, καὶ ἔλεξεν ὁ Κῦρος ἐν αὐτοῖς τότε πρῶτον τάδε·

" Ἄνδρες φίλοι, ἐγὼ προσειλόμην μὲν ὑμᾶς, οὐ νῦν πρῶτον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς ἃ μὲν καλὰ ἡ πόλις νομίζει, προθύμως αὐτὰ ἐκπονοῦντας· ἃ δὲ αἰσχρὰ ἡγεῖται εἶναι, παντελῶς τούτων ἀπεχομένους. Ὧν δὲ ἕνεκα αὐτός τε οὐκ ἄκων εἰς τόδε τὸ τέλος κατέστην, καὶ ὑμᾶς παρεκάλεσα, δηλῶσαι ὑμῖν βούλομαι. Ἐγὼ γὰρ κατενόησα ὅτι οἱ πρόγονοι οὐδὲν χείρους ὑμῶν ἐγένοντο· ἀσκοῦντες γοῦν κἀκεῖνοι διετέλεσαν, ἅπερ ἔργα ἀρετῆς νομίζεται. Ὅ, τι μέντοι προσεκτήσαντο τοιοῦτοι ὄντες ἢ τῷ τῶν Περσῶν κοινῷ ἀγαθόν, ἢ αὐτοῖς, τοῦτο οὐκέτι δύναμαι κατιδεῖν. Καίτοι ἔγωγε οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἐσθλοὶ γενόμενοι τῶν πονηρῶν· ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι, οὐχ, ἵνα μηδέποτε εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται, οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

" νέσθαι, οὐχ, ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται, τοῦτο " μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ πείθοντες πολλοὺς " ἀνθρώπους, πολλὰ καὶ μεγάλα ἀγαθὰ διαπράξεσθαι· οἵ τε " αὖ τὰ πολεμικὰ ἀσκοῦντες, οὐχ, ὡς μαχόμενοι μηδέποτε παύ- " σωνται, τοῦτ' ἐκπονοῦσιν, ἀλλὰ νομίζοντες καὶ οὗτοι, " τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον, πολ- " λὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ αὐτοῖς καὶ τῇ " πόλει περιάψειν. Εἰ δέ τινες ταῦτα ἐκπονήσαντες, πρίν " τινα καρπὸν ἀπ' αὐτῶν κομίσασθαι περιεῖδον αὐτοὺς γήρᾳ " ἀδυνάτους γενομένους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέ- " ναι, οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι, " καὶ εὖ σπείρων, καὶ εὖ φυτεύων, ὁπότε αὐτὸν καρποῦ- " σθαι ταῦτα δέοι, ἐῴη τὸν καρπὸν ἀσυγκόμιστον εἰς τὴν " γῆν πάλιν καταῤῥεῖν. Καὶ εἴ τις ἀθλητὴς πολλὰ πονή- " σας, καὶ ἀξιόνικος γενόμενος, ἀναγώνιστος διατελέσειεν, " οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφρο- " σύνης 'Αλλ' ἡμεῖς, ὦ ἄνδρες, μὴ πάθωμεν ταῦτα· ἀλλ' " ἐπείπερ συνίσμεν ἡμῖν αὐτοῖς ἀπὸ παίδων ἀρξάμενοι ἀσκη- " ταὶ ὄντες τῶν καλῶν κἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς " πολεμίους, οὓς ἐγὼ σαφῶς ἐπίσταμαι, αὐτὸς ἰδών, ἰδιώ- " τας ὄντας ὡς πρὸς ὑμᾶς ἀγωνίζεσθαι Οὐ γάρ πω οὗτοι " ἱκανοί εἰσιν ἀγωνισταί. οἳ ἂν τοξεύωσιν, ἢ ἀκοντί- " ζωσιν, ἢ ἱππεύωσιν ἐπιστημόνως, ἢν δέ που πονῆσαι δέῃ, " τούτῳ λείπωνται· ἀλλ' οὗτοι ἰδιῶταί εἰσι κατὰ τοὺς πό- " νους· οὐδέ γε οἵτινες, ἀγρυπνῆσαι δέον, ἡττῶνται τούτου· " ἀλλὰ καὶ οὗτοι ἰδιῶταί εἰσι κατὰ τὸν ὕπνον· οὐδέ γε οἱ " ταῦτα μὲν ἱκανοί, ἀπαίδευτοι δὲ ὡς χρὴ συμμάχοις καὶ " πολεμίοις χρῆσθαι· ἀλλὰ καὶ οὗτοι δῆλον ὅτι τῶν με- " γίστων παιδευμάτων ἀπείρως ἔχουσιν. Ὑμεῖς δὲ νυκτὶ " μὲν δήπου, ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ, δύνασθε χρῆσθαι· πό- " νους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νομίζετε· λιμῷ δὲ ὅσα- " περ ὄψῳ διαχρῆσθε· ὑδροποσίαν δὲ ῥᾷον τῶν λεόντων " φέρετε· κάλλιστον δὲ πάντων καὶ πολεμικώτατον κτῆμα " εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ μᾶλλον " ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. Τοὺς δ' ἐπαίνου ἐραστὰς " ἀνάγκη ἐπὶ τούτῳ πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

" ἡδέως ὑποδύεσθαι. Εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν ἄλ-
" λως γιγνώσκων, ἐμαυτὸν ἐξαπατῶ· ὅ,τι γὰρ μὴ τοιοῦ-
" τον ἀποβήσεται παρ' ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει. Ἀλ-
" λὰ πιστεύω τοι τῇ πείρᾳ, καὶ τῇ ὑμῶν εἰς ἐμὲ εὐνοίᾳ,
" καὶ τῇ τῶν πολεμίων ἀνοίᾳ, μὴ ψεύσειν με ταύτας τὰς
" ἀγαθὰς ἐλπίδας. Ἀλλὰ θαῤῥοῦντες ὁρμώμεθα, ἐπειδὴ
" καὶ ἐκποδὼν ἡμῖν γεγένηται τὸ δόξαι τῶν ἀλοτρίων ἀδίκως
" ἐφίεσθαι. Νῦν γὰρ ἔρχονται μὲν οἱ πολέμιοι, ἄρχοντες
" ἀδίκων χειρῶν· καλοῦσι δὲ ἡμᾶς οἱ φίλοι ἐπικούρους.
" Τί οὖν ἐστιν ἢ τοῦ ἀλέξασθαι δικαιότερον, ἢ τοῦ τοῖς φί-
" λοις ἀρήγειν κάλλιον; Ἀλλὰ μὴν διὰ τοῦτο ὑμᾶς οὐχ
" ἥκιστα οἶμαι θαῤῥεῖν, τὸ μὴ παρημεληκότα με τῶν θε-
" ῶν τὴν ἔξοδον ποιεῖσθαι. Πολλὰ γάρ μοι συνόντες, ἐπίστα-
" σθε οὐ μόνον τὰ μεγάλα, ἀλλὰ καὶ τὰ μικρὰ πειρώμενον,
" ἀπὸ θεῶν ὁρμᾶσθαι ἀεί. Τέλος, ἔφη, Τί δεῖ λέγειν ἔτι;
" Ἀλλ' ὑμεῖς μὲν τοὺς ἄνδρας ἑλόμενοι καὶ ἀναλαβόντες,
" καὶ τἄλλα παρασκευασάμενοι, ἴτε εἰς Μήδους· ἐγὼ δ'
" ἐπανελθὼν πρὸς τὸν πατέρα, πρόσειμι δή, ὅπως τὰ τῶν
" πολεμίων ὡς τάχιστα μαθὼν οἷά ἐστι, παρασκευάσω ὑμῖν
" ὅ, τι ἂν δύνωμαι, ὅπως ὡς κάλλιστα, σὺν θεῷ, ἀγωνι-
" ζώμεθα." Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

Κῦρος δὲ ἐλθὼν οἴκαδε, καὶ προσευξάμενος Ἑστίᾳ πατρῴᾳ καὶ Διῒ πατρῴῳ, καὶ τοῖς ἄλλοις θεοῖς, ὡρμᾶτο ἐπὶ τὴν στρατιάν· συμπροὔπεμπε δὲ αὐτὸν καὶ ὁ πατήρ. Ἐπεὶ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. Τούτων δὲ φανέντων οὐδὲν ἔτι ἄλλο οἰωνιζόμενοι ἐπορεύοντο, ὡς οὐδένα ἂν λήσαντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα.

Προϊόντι δὲ τῷ Κύρῳ ὁ πατὴρ ἤρχετο λόγου τοιοῦδε. Ὅτι μέν, ὦ παῖ, θεοὶ ἵλεῴ τε καὶ εὐμενεῖς πέμπουσί σε, κα ἐν ἱεροῖς δῆλον καὶ ἐν οὐρανίοις σημείοις· γιγνώσκεις δὲ καὶ αὐτός. Ἐγὼ γάρ σε ταῦτα ἐπίτηδες ἐδιδαξάμην, ὅπως μὴ δι' ἄλλων ἑρμηνέων τὰς τῶν θεῶν συμβουλὰς συνείης, ἀλλὰ αὐτός, καὶ ὁρῶν τὰ ὁρατά, καὶ ἀκούων τὰ ἀκουστά, γιγνώσκοις, καὶ μὴ ἐπὶ μάντεσιν εἴης, οἵ, εἰ βούλοιντό σε ἐξαπατῷεν, ἕτερα λέγοντες ἢ τὰ παρὰ τῶν θεῶν σημαινόμενα· μηδ' αὖ, εἴ ποτε ἄρα ἄνευ μάντεως γένοιο, ἀποροῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

θείοις σημείοις ὅ,τι χρῷο· ἀλλὰ διὰ τῆς μαντικῆς γιγνώσκων τὰ παρὰ τῶν Θεῶν συμβουλευόμενα, τούτοις πείθοιο. Καὶ μὲν δή, ὦ πάτερ, ἔφη ὁ Κῦρος, ὅπως γ' ἂν ἵλεῳ οἱ θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι κατὰ τὸν σὸν λόγον διατελέσω ἐπιμελούμενος. Μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν πρακτικώτερος εἴη, ὥσπερ καὶ παρὰ ἀνθρώπων, ὅστις μή, ὁπότε ἐν ἀπόροις εἴη τότε κολακεύοι, ἀλλ' ὅτε ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῷτο· καὶ τῶν φίλων δὲ ἔφησθα χρῆναι ὡσαύτως ἐπιμελεῖσθαι. Οὐκοῦν νῦν, ἔφη, ὦ παῖ, διά γε ἐκείνας τὰς ἐπιμελείας ἥδιον μὲν ἔρχῃ πρὸς τοὺς θεοὺς δεησόμενος· ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι ὧν ἂν δέῃ, ὅτι συνειδέναι σαυτῷ δοκεῖς οὐ πώποτ' ἀμελήσας αὐτῶν. Πάνυ μὲν οὖν, ἔφη, ὦ πάτερ, ὡς πρὸς φίλους μοι τοὺς θεοὺς ὄντας οὕτω διάκειμαι. Τί γάρ ἔφη, ὦ παῖ, μέμνησαι ἐκεῖνα, ἅ ποτε ἐδόκει ἡμῖν; ὡς, ἅπερ δεδώκασιν οἱ θεοί, μαθόντας ἀνθρώπους βέλτιον πράξειν, ἢ ἀνεπιστήμονας αὐτῶν ὄντας, καὶ ἐργαζομένους μᾶλλον ἀνύττειν, ἢν ἀργοῦντας, καὶ ἐπιμελουμένους ἀσφαλέστερον ἂν διάγειν, ἢ ἀφυλακτοῦντας τούτων· παρέχοντας οὖν ἑαυτοὺς οἵους δεῖ, οὕτως ἡμῖν ἐδόκει δεῖν καὶ αἰτεῖσθαι τὰ ἀγαθὰ παρὰ τῶν θεῶν. Ναὶ μὰ Δία, ἔφη ὁ Κῦρος, μέμνημαι μέντοι ταῦτα ἀκούσας σου· καὶ γὰρ ἀνάγκη ἦν πείθεσθαι τῷ λόγῳ τούτῳ. Καὶ γὰρ οἶδά σε λέγοντα ἀεί, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν οὔτε, ἱππεύειν μὴ μαθόντας, ἱππομαχοῦντας νικᾷν· οὔτε, μὴ ἐπισταμένους τοξεύειν, τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων τοξεύειν· οὔτε, μὴ ἐπισταμένους κυβερνᾷν, σώζειν εὔχεσθαι ναῦς κυβερνῶντας· οὐδέ, μὴ σπείροντάς γε σῖτον, εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι· οὐδέ, μὴ φυλαττομένους γε ἐν πολέμῳ, σωτηρίαν αἰτεῖσθαι· παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς πάντα τὰ τοιαῦτα εἶναι· τοὺς δὲ ἀθέμιστα εὐχομένους ὁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν, ὥσπερ καὶ παρὰ ἀνθρώπων ἀπρακτεῖν τοὺς παράνομα δεομένους. Ἐκείνων δέ, ἔφη, ὦ παῖ, ἐπελάθου, ἅ ποτε ἐγὼ καὶ σὺ ἐλογιζόμεθα; ὡς ἱκανὸν εἴη καὶ καλὸν ἀνδρὶ ἔργον, εἴ τις δύναιτο ἐπιμεληθῆναι ὅπως ἂν αὐτός τε καλὸς κἀγαθὸς δοκίμως γένοιτο, καὶ τὰ ἐπιτήδεια ὅπως αὐτός

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τε καὶ οἱ οἰκέται ἱκανῶς ἔχοιεν. Τὸ δὲ, τούτου μεγάλου ἔργου οὕτως ὄντος, ἐπίστασθαι ἀνθρώπων ἄλλων προστατεύειν, ὅπως ἕξουσιν ἅπαντα τὰ ἐπιτήδεια ἔκπλεω, καὶ ὅπως ἔσονται πάντες οἵους δεῖ, τοῦτο θαυμαστὸν δήπου ἐφαίνετο ἡμῖν εἶναι. Ναὶ μὰ Δί', ἔφη, ὦ πάτερ, μέμνημαι καὶ τοῦτό σου λέγοντος· συνεδόκει οὖν καὶ ἐμοὶ ὑπερμέγεθες εἶναι ἔργον, τὸ καλῶς ἄρχειν. Καὶ νῦν γ', ἔφη, ταυτά μοι δοκεῖ ταῦτα, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. Ὅταν μέντοιγε πρὸς ἄλλους ἰδὼν κατανοήσω οἷοί τε ὄντες διαγίγνονται ἄρχοντες, καὶ οἷοι ὄντες ἀνταγωνισταὶ ἡμῶν ἔσονται, πάνυ μοι δοκεῖ αἰσχρὸν εἶναι, τὸ τοιούτους αὐτοὺς ὄντας ὑποπτῆξαι, καὶ μὴ ἐθέλειν ἰέναι αὐτοῖς ἀνταγωνιουμένους· οὓς, ἔφη, ἐγὼ αἰσθάνομαι, ἀρξάμενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων, ἡγουμένους δεῖν τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν τῷ καὶ πολυτελέστερον δειπνεῖν, καὶ πλέον ἔνδον ἔχειν χρυσίον, καὶ πλείονα χρόνον καθεύδειν, καὶ πάντα ἀπονώτερον τῶν ἀρχομένων διάγειν. Ἐγὼ δὲ οἶμαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν τε καὶ φιλοπονεῖν προθυμούμενον. Ἀλλά τοι, ἔφη, ὦ παῖ, ἔνιά ἐστιν, ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα, ὧν οὐ ῥᾴδιον εὐπόρως περιγενέσθαι. Αὐτίκα δήπου οἶσθα, ἔφη, ὅτι εἰ μὴ ἕξει ἡ στρατιὰ τὰ ἐπιτήδεια, καταλύσεταί σου εὐθὺς ἡ ἀρχή. Οὐκοῦν ταῦτα μὲν, ἔφη, ὦ πάτερ, Κυαξάρης φησὶ παρέξειν τοῖς ἐντεῦθεν πᾶσιν ἰοῦσιν, ὁπόσοι ἂν ὦσι. Τούτοις δὲ ἔφη, ὦ παῖ, σὺ πιστεύων ἔρχῃ τοῖς παρὰ Κυαξάρου χρήμασιν; Ἔγωγε, ἔφη ὁ Κῦρος. Τί δὲ, ἔφη, οἶσθα ὁπόσα αὐτῷ ἐστι; Μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, οὐ μὲν δή. Ὅμως δὲ τούτοις, ἔφη, πιστεύεις τοῖς ἀδήλοις; Ὅτι δὲ πολλῶν μέν σοι δεήσει, πολλὰ δὲ καὶ ἄλλα νῦν ἀνάγκη δαπανᾷν, ἐκεῖνο οὐ γιγνώσκεις; Γινώσκω, ἔφη ὁ Κῦρος. Ἐὰν οὖν, ἔφη, ἐπιλίπῃ αὐτὸν ἡ δαπάνη, καὶ ἑκὼν ψεύσηται, πῶς σοι ἕξει τὰ τῆς στρατιᾶς; Δῆλον ὅτι οὐ καλῶς. Ἀτὰρ, ὦ πάτερ, ἔφη, σὺ εἰ ἐνορᾷς τινα πόρον καὶ ἀπ' ἐμοῦ ἂν προσγενόμενον ἕως ἔτι ἐν φιλίᾳ ἐσμὲν, λέγε. Ἐρωτᾷς, ἔφη, τοῦτο, ὦ παῖ, εἴ τις ἂν ἀπὸ σοῦ πόρος προσγένοιτο; Ἀπὸ τίνος δὲ μᾶλλον εἰκός ἐστι πόρον προσγενέσθαι, ἢ ἀπὸ τοῦ δύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ναμιν ἔχοντος; Σὺ δὲ πεζὴν μὲν δύναμιν ἔχων ἐνθένδε ἔρχῃ, ἀνθ' ἧς, εὖ οἶδ' ὅτι πολλαπλασίαν ἄλλην οὐκ ἂν δέξαιο· ἱππικὸν δέ σοι, ὅπερ κράτιστον, τὸ Μήδων σύμμαχον ἔσται. Ποῖον οὖν ἔθνος τῶν πέριξ οὐ δοκεῖ σοι, καὶ χαρίζεσθαι βουλόμενον ὑμῖν ὑπηρετήσειν, καὶ φοβούμενον μή τι πάθῃ; Ἃ χρή σε κοινῇ σὺν Κυαξάρῃ σκοπεῖσθαι, μήποτε ἐπιλίπῃ τι ὑμᾶς ὧν δεῖ ὑπάρχειν· καὶ ἔθους δὲ ἕνεκα μηχανᾶσθαι προσόδου πόρον. Τόδε δὲ μάλιστα πάντων μέμνησό μοι, μηδέποτε ἀναμένειν τὸ πορίζεσθαι τὰ ἐπιτήδεια, ἕς τ' ἂν ἡ χρεία σὲ ἀναγκάσῃ· ἀλλ' ὅτε μὲν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μᾶλλον μηχανῶ. Καὶ γὰρ τεύξῃ μᾶλλον παρ' ὧν ἂν δέῃ, μὴ ἀπορεῖν δοκῶν, καὶ ἔτι ἀναίτιος ἔσῃ παρὰ τοῖς σαυτοῦ στρατιώταις· ἐκ τούτου δὲ μᾶλλον καὶ ὑπὸ τῶν ἄλλων αἰδοῦς τεύξῃ· καὶ ἤν τινας βούλῃ τῇ δυνάμει εὖ ποιῆσαι ἢ κακῶς, μᾶλλον, ἕως ἂν ἔχωσι τὰ δέοντα οἱ στρατιῶται ὑπηρετήσουσί σοι· καὶ πειστικωτέρους, σάφ' ἴσθι λόγους δυνήσῃ τότε λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλιστα δύνῃ καὶ εὖ ποιεῖν ἱκανὸς ὢν καὶ κακῶς. Ἀλλ', ἔφη, ὦ πάτερ, ἄλλως τέ μοι καλῶς δοκεῖς ταῦτα λέγειν πάντα, καὶ ὅτι ἃ μὲν αὖ νῦν λήψονται οἱ στρατιῶται, οὐδεὶς αὐτῶν ἐμοὶ τούτων χάριν εἴσεται (ἴσασι γὰρ ἐφ' οἷς αὐτοὺς Κυαξάρης ἄγεται συμμάχους)· ὅ,τι δ' ἂν πρὸς τοῖς εἰρημένοις λαμβάνῃ τις, ταῦτα καὶ τιμὴν νομιοῦσι, καὶ χάριν τούτων πλείστην εἰκὸς εἰδέναι τῷ διδόντι. Τὸ δ' ἔχοντα δύναμιν, ᾗ ἔστι μὲν φίλους εὖ ποιοῦντα ἀντωφελεῖσθαι, ἔστι δὲ ἐχθροὺς ἔχοντα πειρᾶσθαί τι κτᾶσθαι ἀπ' αὐτῶν, ἔπειτα ἀμελεῖν τοῦ πορίζειν, οἴει τι, ἔφη, ἧσσον τοῦτο εἶναι αἰσχρὸν, ἢ εἴ τις ἔχων μὲν ἀγροὺς, ἔχων δὲ ἐργάτας οἷς ἂν ἐργάζοιτο, ἔπειτα ἐῴη τὴν γῆν ἀργοῦσαν ἀνωφέλητον εἶναι; Ὡς οὖν ἐμοῦ, ἔφη, μηδέποτε ἀμελήσοντος τοῦ τὰ ἐπιτήδεια τοῖς στρατιώταις συμμηχανᾶσθαι, μήτ' ἐν φιλίᾳ, μήτ' ἐν πολεμίᾳ, οὕτως ἔχε τὴν γνώμην.

Τί γὰρ, ἔφη, τῶν ἄλλων, ὦ παῖ, ὧν ἐδόκει ποθ' ἡμῖν ἀναγκαῖον εἶναι μὴ παραμελεῖν, μέμνησαι; Οὐ γὰρ, ἔφη, μέμνημαι; ὅτε ἐγὼ μὲν πρὸς σε ἦλθον ἐπ' ἀργύριον, ὅπως ἀποδοίην τῷ φάσκοντί με στρατηγεῖν πεπαιδευκέναι· σὺ δὲ ἅμα διδοὺς μοι ἐπηρώτας ὧδέ πως, Ἆρά γε, εἶπες, ὦ παῖ, ἐν τοῖς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπακαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

στρατηγικοῖς ἔργοις καὶ οἰκονομίας τι σοὶ ἐπεμνήσθη ὁ ἀνὴρ ὧ τὸν μισθὸν φέρεις; οὐδὲν μέντοι οἱ στρατιῶται ἧττον τῶν ἐπιτηδείων δέονται, ἢ οἱ ἐν οἴκῳ οἰκέται. Ἐπεὶ δ' ἐγώ σοι, λέγων τἀληθῆ, εἶπον ὅτι οὐδ' ὁτιοῦν περὶ τούτου ἐπεμνήσθη, ἐπήρου με πάλιν, εἴ τι ὑγείας μοι πέρι ἔλεξε καὶ ῥώμης· ὡς δεῆσον καὶ τούτων, ὥσπερ καὶ ὑπὲρ τῆς στρατηγίας, τὸν στρατηγὸν ἐπιμελεῖσθαι. Ὡς δὲ καὶ ταῦτα ἀπέφησα, ἐπήρου με αὖ πάλιν, εἴ τινα ἐπιμέλειαν ἐδίδαξέ με, ὡς ἂν ἕκαστα τῶν πολεμικῶν ἔργων κράτιστοι ἂν σύμμαχοι γένοιντο. Ἀποφήσαντος δέ μου καὶ τοῦτο, ἀνέκρινας αὖ σὺ καὶ τόδε εἴτι μ' ἐπαίδευσεν ὡς ἂν δυναίμην στρατιᾷ προθυμίαν ἐμβαλεῖν· λέγων, ὅτι τὸ πᾶν διαφέρει ἐν παντὶ ἔργῳ προθυμία ἀθυμίας. Ἐπειδὴ δὲ καὶ τοῦτο ἀνένευον, ἤλεγχες αὖ σύ, εἴ τινα λόγον ποιήσαιτο διδάσκων περὶ τοῦ πείθεσθαι τὴν στρατιάν, ὡς ἂν τις μάλιστα μηχανῷτο. Ἐπειδὴ δὲ καὶ τοῦτο παντάπασιν ἄρρητον ἐφαίνετο, τέλος δή με ἐπήρου, ὅ,τί ποτε διδάσκων, στρατηγίαν φαίη με διδάσκειν. Κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην ὅτι τὰ τακτικά. Καὶ σὺ γελάσας διῆλθές μοι, παρατιθεὶς ἕκαστον, ὅτι οὐδὲν ὄφελος εἴη στρατιᾷ τακτικῶν, ἄνευ τῶν ἐπιτηδείων. Τί δ' ἄνευ τοῦ ὑγιαίνειν; Τί δ' ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας; Τί δ' ἄνευ τοῦ πείθεσθαι; Ὡς δέ μοι καταφανὲς ἐποίησας, ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπερομένου μου, εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης, ἀπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς ἀνδράσι νομιζομένοις εἶναι διαλέγεσθαι, καὶ πυνθάνεσθαι πῇ ἕκαστα τούτων γίγνεται. Ἐκ τούτου δὴ συνῆν τούτοις ἐγώ, οὓς μάλιστα φρονίμους περὶ τούτων ἤκουον εἶναι. Καὶ περὶ μὲν τροφῆς, ἐπείσθην ἱκανὸν εἶναι ὑπάρχον, ὅ,τι Κυαξάρης ἔμελλε παρέξειν ἡμῖν· περὶ δὲ ὑγιείας, ἀκούων τε καὶ ὁρῶν ὅτι καὶ πόλεις αἱ χρῄζουσαι ὑγιαίνειν ἰατροὺς αἱροῦνται, καὶ οἱ στρατηγοὶ τῶν στρατιωτῶν ἕνεκεν ἰατροὺς ἐξάγουσιν, οὕτω καὶ ἐγώ, ἐπεὶ ἐν τῷ τέλει τούτῳ ἐγενόμην, εὐθὺς τούτου ἐπεμελήθην· καὶ οἶμαι, ἔφη, ὦ πάτερ πάνυ ἱκανοὺς τὴν ἰατρικὴν τέχνην ἔχειν ἄνδρας μετ' ἐμαυτοῦ. Πρὸς τοῦτο δὴ ὁ πατὴρ εἶπεν, Ἀλλ', ὦ παῖ, ἔφη, οὗτοι μέν, οὓς λέγεις, ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἀκεσταί, οὕτω

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ ἰατροὶ, ὅταν τινὲς νοσήσωσι, τότε ἰῶνται τούτους· σοὶ δὲ τούτου μεγαλοπρεπεστέρα ἔσται ἡ τῆς ὑγιείας ἐπιμέλεια· τοῦ γὰρ τὴν ἀρχὴν μὴ κάμνειν τὸ στράτευμα, τούτου σοι δεῖ μέλειν. Καὶ τίνα δὴ, ἔφη, ὦ πάτερ, ὁδὸν ἰὼν, τοῦτο πράττειν ἱκανὸς ἔσομαι; Ἂν μὲν δήπου χρόνον τινὰ μέλλῃς ἐν τῷ αὐτῷ μένειν, ὑγιεινοῦ δεῖ πρῶτον στρατοπέδου μὴ ἀμελῆσαι· τούτου δὲ οὐκ ἂν ἁμάρτοις, ἐάν περ μέλῃ σοι. Καὶ γὰρ λέγοντες οὐδὲν παύονται οἱ ἄνθρωποι περί τε τῶν νοσηρῶν χωρίων καὶ τῶν ὑγιεινῶν· μάρτυρες δὲ σαφεῖς ἑκατέροις αὐτῶν παρίστανται τά τε σώματα καὶ τὰ χρώματα. Ἔπειτα δὲ οὐ τὰ χωρία μόνον ἀρκέσει σκέψασθαι, ἀλλὰ μνήσθητι πῶς πειρᾷ σὺ ἐπιμελεῖσθαι σεαυτοῦ, ὅπως ὑγιαίνῃς. Καὶ Κῦρος εἶπε, Πρῶτον μὲν πειρῶμαι, νὴ Δία, μηδέποτε ὑπερεμπίπλασθαι· δύσφορον γάρ· ἔπειτα δὲ ἐκπονῶ τὰ εἰσιόντα· οὕτω γάρ μοι δοκεῖ ἥ τε ὑγίεια μᾶλλον παραμένειν, καὶ ἰσχὺς προσγίνεσθαι. Οὕτω τοίνυν δεῖ, ἔφη, ὦ παῖ, καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι. Ἦ καὶ σχολὴ, ἔφη, ἔσται ὦ πάτερ, σωμασκεῖν τοῖς στρατιώταις; Οὐ μὰ Δί', ἔφη ὁ πατὴρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. Δεῖ γὰρ δήπου στρατιὰν, εἰ μέλλει πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι ἢ τοῖς πολεμίοις καταπορσύνουσαν κακὰ ἢ ἑαυτῇ ἀγαθά. Ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον. πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. Πλεῖστα γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ, καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα, καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρώμενα· ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην στρατηγὸν ἐγὼ, ἔφη, ἀναδέχομαι (ἢν μή τις θεὸς βλάπτῃ) ἅμα καὶ ἐπιτήδεια μάλιστα ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν, καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέντοι τό γε μελετᾶσθαι, ἔφη, ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν τινάς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάστοις, καὶ ἆθλα προτιθεὶς, μάλιστα ἂν ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαστα, ὥστε, ὁπότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιστα λέγεις, ἔφη, ὦ παῖ, τοῦτο γὰρ ποιήσας, σαφ' ἴσθι, ὥσπερ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

χορούς, τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ. Ἀλλὰ μήν, ἔφη ὁ Κῦρος, εἴς τε τὸ προθυμίαν ἐμβαλεῖν στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλ', ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν, οἷόν περ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, οἵαπερ ὅταν τὸ θηρίον ὁρᾷ. Τὸ μὲν γὰρ πρῶτον προθύμως, εὖ οἶδ' ὅτι ἔχει, ὑπακουούσας ἢν δὲ πολλάκις ψεύδηται αὐτάς, τελευτῶσαι οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ, πείθονται αὐτῷ. Οὕτω καὶ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις τελευτῶν, οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται. Ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν, ἃ μὴ σαφῶς εἰδείη, φείδεσθαι δεῖ, ὦ παῖ· ἄλλοι δ' ἐνίοτε λέγοντες ταυτὸ διαπράττοιεν ἄν· τὴν δὲ αὐτοῦ παρόρμησιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασώζειν. Ἀλλά, ναὶ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, ὦ πάτερ, καὶ καλῶς μοι δοκεῖς λέγειν, καὶ ἐμοὶ οὕτως ἥδιον. Τοῦ γε μὴν πειθομένους παρέχεσθαι τοὺς στρατιώτας οὐκ ἀπείρως μοι δοκῶ ἔχειν, ὦ πάτερ. Σύ τε γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες, σαυτῷ πείθεσθαι ἀναγκάζων· ἔπειτα τοῖς διδασκάλοις παρέδωκας· καὶ ἐκεῖνοι αὖ ταὐτὸ τοῦτο ἔπραττον. Ἐπεὶ δέ, ὡς ἐν τοῖς ἐφήβοις ἦμεν, ὁ ἄρχων ἡμῶν αὐτοῦ τούτου ἰσχυρῶς ἐπεμελεῖτο· καὶ οἱ νόμοι δὲ οἱ πολλοὶ δοκοῦσί μοι δύο ταῦτα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. Καὶ τοίνυν κατανοῶν περὶ τούτων, ἐν ἅπασιν ὁρῶν μοι δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὄν, τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾶν, τὸν δὲ ἀπειθοῦντα ἀτιμάζειν τε καὶ κολάζειν. Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ πείθεσθαι, ἔφη, αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν· ἐπὶ δὲ τὸ πολὺ κρεῖττον τούτου, τὸ ἑκόντας πείθεσθαι, ἄλλη συντομωτέρα ὁδός ἐστιν. Ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. Γνοίης δ' ἂν ὅτι τοῦθ' οὕτως ἔχει, ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ,τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάττῃ δέ, ὡς προθύμως τοῖς κυβερνήταις συμπλέοντες πείθονται· καὶ οὕς γ' ἂν νομίζωσί τινες

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυρῶς τούτων οὐδ' ἀπολείπεσθαι θέλουσιν· ὁπότε δὲ οἴονται πειθόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημίαις πάνυ τι θέλουσιν εἴκειν, οὔτε δώροις ἐπαίρεσθαι. Οὐδὲ γὰρ τὰ δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, εἰς τὸ πειθομένους ἔχειν οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρχομένων. Λέγω γὰρ οὖν, ἔφη. Καὶ πῶς δή τις, ὦ πάτερ, τοιαύτην δόξαν περὶ αὑτοῦ τάχιστα παρασχέσθαι ἂν δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα ὁδὸς περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. Καθ' ἓν δὲ ἕκαστον περὶ τούτων σκοπῶν, γνώσῃ ὅτι ἐγὼ ἀληθῆ λέγω. Ἢν γὰρ βούλῃ, μὴ ὢν ἀγαθὸς γεωργὸς, δοκεῖν εἶναι ἀγαθὸς, ἢ ἱππεὺς, ἢ ἰατρὸς, ἢ αὐλητὴς, ἢ ἄλλ' ὁτιοῦν, ἐννόει, πόσα γε ἄν δ' οἱ σε μηχανᾶσθαι, τοῦ δοκεῖν ἕνεκα. Καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλοὺς, ὅπως δόξαν λάβῃς, καὶ κατασκευὰς καλὰς ἐφ' ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἄν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν δοίης, ἐξεληλεγμένος τ' ἂν εἴης, καὶ προσέτι ἀλαζὼν φαίνοιο. Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἄν τις τῷ ὄντι γένοιτο; Δηλονότι, ἔφη, ὦ παῖ, ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἄν, ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ, οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ,τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου, ὡς ἂν πραχθείη. Καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, εὖ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς, ἢ τὸ ἀμελεῖν. Ἀλλὰ μέντοι ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων (ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι) δηλονότι ἡ αὐτὴ ὁδὸς, ἥπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. Εὖ γὰρ οἶμαι δεῖν ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μὲν, ἔφη, ὦ παῖ, χαλεπὸν τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν, οὓς ἄν τις ἐθέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακὸν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον μήτι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτά πως δεῖ μᾶλλον συμπαρομαρτεῖν. Καὶ ἐπὶ τῶν πράξεων δὲ, ἢν μὲν ἐν θέρει



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ῶσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι· ἢν δὲ ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. Λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων εἶναι. Λέγω γὰρ οὖν, ἔφη. Θάῤῥει μέντοι, ἔφη, ὦ παῖ· εὖ γὰρ ἴσθι τοῦτο, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται, ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου· ἀλλ' ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι, καὶ τὸ αὐτὸν εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ,τι ἂν ποιῇ. Ὁπότε δέ, ὦ πάτερ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιέν τε, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα σωφρονεῖν ἄν τις σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναί, μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλεῖον ἕξειν· εἰ δὲ μή, ἔγωγ' ἂν ὅσῳ οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίους ἔχειν, τόσῳ δ' ἂν μᾶλλον φυλαττοίμην· ὥσπερ καὶ τὰ ἄλλα, ἃ ἂν οἰώμεθα πλείστου ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώμεθα ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. Πλέον δ' ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο μάλιστα; Οὐ μὰ Δί', ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδ' ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ' εὖ ἴσθι ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι, καὶ κρυψίνουν, καὶ δολερόν, καὶ ἀπατεῶνα, καὶ κλέπτην, καὶ ἅρπαγα, καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν, Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ νομιμώτατος ἀνὴρ εἴης. Πῶς μήν, ἔφη, παῖδας ὄντας ἡμᾶς καὶ ἐφήβους τἀναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε, πρὸς τοὺς φίλους τε καὶ πρὸς τοὺς πολίτας· ὅπως δέ γε τοὺς πολεμίους δύναισθε κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνοντας ὑμᾶς πολλὰς κακουργίας; Οὐ δῆτ' ἔγωγ', ἔφη, ὦ πάτερ. Τίνος μήν, ἔφη, ἕνεκα ἐμανθάνετε τοξεύειν; Τίνος δ' ἕνεκα, ἀκοντίζειν; Τίνος δ' ἕνεκα, δολοῦν ὗς ἀγρίους πλέγμασι καὶ ὀρύγμασι; Τί δέ, ἐλάφους ποδάγραις καὶ ἀρπεδόναις; Τί δὲ λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν οὐκ εἰς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Βιβλιοθήκη Ναυπάκτου

τὸ ἴσον καθιστάμενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονεξίας τινὸς ἀεὶ ἐπειρᾶσθε ἀγωνίζεσθαι πρὸς αὐτά; Ἢ οὐ γινώσκεις ὅτι ταῦτα πάντα κακουργίαι τινὲς, καὶ ἀπάται, καὶ δολώσεις, καὶ πλεονεξίαι; Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, θηρίων γε· ἀνθρώπων δὲ εἰ καὶ δόξαιμι βούλεσθαι ἐξαπατῆσαί τινα, πολλὰς πληγὰς οἶδα λαμβάνων. Οὐδὲ γὰρ τοξεύειν, οἶμαι, ἔφη, οὐδ' ἀκοντίζειν ἄνθρωπον ἐπετρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν βάλλειν ἐδιδάσκομεν· ἵνα γε νῦν μὲν μὴ κακουργοίητε τοὺς φίλους, εἰ δέ ποτε πόλεμος γένοιτο, δύναισθε καὶ ἀνθρώπων στοχάζεσθαι. Καὶ ἐξαπατᾷν δὲ καὶ πλεονεκτεῖν οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν θηρίοις, ἵνα μηδ' ἐν τούτοις τοὺς φίλους βλάπτοιτε· εἰ δέ ποτε πόλεμος γένοιτο, μηδὲ τούτων ἀγύμναστοι εἴητε. Οὐκοῦν, ἔφη, ὦ πάτερ, εἴπερ χρήσιμά ἐστιν ἀμφότερ' ἐπίστασθαι, εὖ τε ποιεῖν καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκειν ἀμφότερα ταῦτα ἔδει ἐν ἀνθρώποις. Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ, ἐπὶ τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκαλος τῶν παίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας τήν τε δικαιοσύνην, ὥσπερ καὶ σὺ κελεύεις, καὶ ἀδικίαν· μὴ ψεύδεσθαι, καὶ ψεύδεσθαι· καὶ μὴ ἐξαπατᾷν καὶ ἐξαπατᾷν· καὶ μὴ διαβάλλειν, καὶ διαβάλλειν· καὶ μὴ πλεονεκτεῖν, καὶ πλεονεκτεῖν. Διώριζε δὲ τούτων ἅ τε πρὸς τοὺς φίλους ποιητέον ἦν, καὶ ἃ πρὸς τοὺς ἐχθρούς· καὶ ἔτι δὲ προβὰς ταῦτα ἐδίδασκεν, ὡς τοὺς φίλους δίκαιον εἴη ἐξαπατᾷν, ἐπί γε ἀγαθῷ· καὶ κλέπτειν τὰ τῶν φίλων, ἐπί γε ἀγαθῷ. Καὶ ταῦτα διδάσκοντα ἀνάγκη καὶ γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν· ὥσπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾷν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο δύνασθαι ποιεῖν. Γενόμενοι οὖν τινες οὕτως εὐφυεῖς καὶ πρὸς τὸ εὖ ἐξαπατᾷν καὶ πρὸς τὸ εὖ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπείχοντο οὐδ' ἀπὸ τῶν φίλων, τὸ μὴ οὐχὶ πλεονεκτεῖν αὐτῶν πειρᾶσθαι. Ἐγένετο οὖν ἐκ τούτου ῥήτρα ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας, ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν ἀληθεύειν, καὶ μὴ ἐξαπατᾷν, μηδὲ κλέπτειν, μηδὲ πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν· ὅπως σὺν τοιούτῳ ἔθει ἐθισθέντες, πρᾳότεροι πολῖται γένοιντο. Ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Ψηφιοποιήθηκε από τη Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἥνπερ σὺ νῦν ἔχεις ἤδη, καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν. Οὐδὲ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μὴ πρὸς τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ αὐτοῖς ῥᾳδιουργίας προσγενομένης, ἀμέτρως αὐτῇ χρῷντο οἱ νέοι. Νὴ Δί', ἔφη ὡς τοίνυν ὀψιμαθῆ με ὄντα τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου, εἴ τι ἔχεις, διδάσκειν ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. Μηχανῶ τοίνυν, ἔφη, ὁπόση ἐστὶ δύναμις, τεταγμένοις τοῖς σαυτοῦ ἀτάκτους λαμβάνειν τοὺς πολεμίους· καὶ ὡπλισμένοις, ἀόπλους· καὶ ἐγρηγορόσι, καθεύδοντας· καὶ φανερούς σοι ὄντας, ἀφανὴς ὢν αὐτὸς ἐκείνοις· καὶ ἐν δυσχωρίαις αὐτοὺς γιγνομένους, ἐν ἐρυμνῷ αὐτὸς ὤν, ὑποδέξῃ. Καὶ πῶς ἄν, ἔφη, τις τοιαῦτα, ὦ πάτερ, ἁμαρτάνοντας δύναιτο ἂν τοὺς πολεμίους λαμβάνειν; Ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐστὶ καὶ ὑμᾶς καὶ τοὺς πολεμίους πάσχειν. Σιτοποιεῖσθαί τε γὰρ ἀνάγκη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀμφοτέρους, καὶ ἕωθεν ἐπὶ τὰ ἀναγκαῖα σχεδὸν ἅμα πάντας ἀποχωρεῖν δεῖσθαι· καὶ ταῖς ὁδοῖς, ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀνάγκη χρῆσθαι· ἃ χρή σε πάντα κατανοοῦντα, ἐν ᾧ μὲν ἂν ὑμᾶς γινώσκῃς ἀσθενεστάτους γιγνομένους, ἐν τούτῳ μάλιστα φυλάττεσθαι· ἐν ᾧ δ' ἂν τοὺς πολεμίους αἰσθάνῃ εὐχειρωτοτάτους γιγνομένους, ἐν τούτῳ μάλιστα ἐπιτίθεσθαι. Πότερον δ', ἔφη ὁ Κῦρος, ἐν τούτοις μόνον ἐστὶ πλεονεκτεῖν, ἢ κα ἰἐν ἄλλοις τισί; Καὶ πολύ γε μᾶλλον, ἔφη, ὦ παῖ· ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ πάντες ἰσχυρὰς φυλακὰς ποιοῦνται, εἰδότες ὅτι δέονται. Οἱ δ' ἐξαπατῶντες τοὺς πολεμίους δύνανται, καὶ θαρσῆσαι ποιήσαντες, ἀφυλάκτους λαμβάνειν· καὶ διῶξαι παραδόντες ἑαυτούς, ἀτάκτους ποιῆσαι· καὶ ἐς δυσχωρίαν φυγῇ ὑπαγαγόντες, ἐνταῦθα ἐπιτίθεσθαι. Δεῖ δέ, ἔφη, ὦ παῖ, φιλομαθῆ σε τούτων πάντων ὄντα, οὐχ, οἷς ἂν μάθοις, τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ αὐτὸν ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων· ὥσπερ καὶ οἱ μουσικοὶ οὐχ' οἷς ἂν μάθωσι, τούτοις μόνον χρῶνται, ἀλλὰ καὶ ἄλλα μέλη πειρῶνται ποιεῖν. Καὶ σφόδρα μὲν καὶ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ ἀνθηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν τοῖς πολε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Πολυχωροκεντρική Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μικοῖς μᾶλλον τὰ κοινὰ μηχανήματα εὐδοκιμεῖ· ταῦτα γὰρ μᾶλλον καὶ ἐξαπατᾶν δύνανται τοὺς πολεμίους. Εἰ δὲ σύ γε, ἔφη, ὦ παῖ, μηδὲν ἄλλο μετενέγκοις ἐπ' ἀνθρώπους, ἢ τὰς μηχανάς, ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχανῶ, οὐκ οἴει ἄν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πολεμίους πλεονεξίας; Σὺ μὲν γὰρ ἐπὶ τὰς ὄρνιθας ἐν τῷ ἰσχυροτάτῳ χειμῶνι ἀνιστάμενος, ἐπορεύου νυκτός· καὶ πρὶν κινεῖσθαι τὰς ὄρνιθας ἐπεποίηντό σοι ἐπὶ τούτῳ αἱ πάγαι αὐταῖς, καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο τῷ ἀκινήτῳ. Ὄρνιθες δὲ ἐπεπαίδευντό σοι, ὥστε σοὶ μὲν τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας ἐξαπατᾶν· αὐτὸς δὲ ἐνήδρευες, ὥστε ὁρᾶν μὲν αὐτάς, μὴ ὁρᾶσθαι δὲ ὑπ' αὐτῶν· εἶχες δ' ἐπιμέλειαν τοῦ φθάνειν ἕλκων τὰ πετεινὰ πρὸ τοῦ φυγεῖν. Πρὸς δ' αὖ τὸν λαγώ, ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδράσκει, κύνας ἔτρεφες, αἳ τῇ ὀσμῇ αὐτὸν ἀνεύρισκον. Ὅτι δὲ ταχὺ ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπιτετηδευμένας πρὸς τὸ καταπόδας αἱρεῖν. Εἰ δὲ καὶ ταύτας ἀποφύγοιεν, τοὺς πόρους αὐτῶν ἐκμανθάνων, καὶ πρὸς οἷα χωρία φεύγειν αἱροῦνται οἱ λαγῲ, ἐν τούτοις τὰ δίκτυα δυσόρατα ἐνεπετάννυες, ἵνα ἐν τῷ σφόδρα φεύγειν, αὐτὸς ἑαυτόν, ἐμπίπτων, ἐνέδυ. Τοῦ δὲ μηδ' ἐντεῦθεν διαφεύγειν, σκοποὺς τοῦ γιγνομένου καθίστης, οἳ ἐγγύθεν ταχὺ ἔμελλον ἐπιγενήσεσθαι· καὶ αὐτὸς μὲν σὺ ὄπισθεν κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγὼ βοῶν, ἐξέπληττες αὐτόν, ὥστε ἀφρόνως ἁλίσκεσθαι· τοὺς δὲ ἔμπροσθεν σιγᾶν διδάξας ἐνεδρεύοντας, λανθάνειν ἐποίεις. Ὥσπερ οὖν προεῖπον, εἰ τοιαῦτα ἐθελήσαις καὶ ἐπὶ τοὺς ἀνθρώπους μηχανᾶσθαι, οὐκ οἶδ' ἔγωγε εἴ τινα λίποις ἂν τῶν πολεμίων. Ἢν δέ ποτε ἄρα ἀνάγκη γένηται καὶ ἐν τῷ ἰσοπέδῳ, καὶ ἐκ τοῦ ἐμφανοῦς, καὶ ὡπλισμένους ἀμφοτέρους μάχην συνάπτειν, ἐν τῷ τοιούτῳ δή, ὦ παῖ, αἱ ἐκ πολλοῦ παρεσκευασμέναι πλεονεξίαι μέγα δύνανται. Ταύτας δὲ ἐγὼ λέγω εἶναι, ὅταν τῶν στρατιωτῶν εὖ μὲν τὰ σώματα ἠσκημένα ᾖ, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι, εὖ δὲ αἱ πολεμικαὶ τέχναι μεμελετημέναι ὦσιν. Εὖ δὲ χρὴ καὶ τοῦτο εἰδέναι, ὅτι ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι πάντες ἀξιώσουσί σε πρὸ ἑαυτῶν βουλεύεσθαι. Μηδέποτε οὖν ἀφροντίστως ἔχε, ἀλλὰ τῆς μὲν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νυκτὸς προσκόπει τί σοι ποιήσουσιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα γένηται· τῆς δὲ ἡμέρας, ὅπως τὰ εἰς νύκτα κάλλιστα ἕξῃ. Ὅπως δὲ χρὴ τάσσειν εἰς μάχην στρατιὰν, ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτὸς, ἢ στενὰς ἢ πλατείας ὁδοὺς, ἢ ὀρεινὰς ἢ πεδινὰς, ἢ ὅπως στρατοπεδεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμερινὰς καθιστάναι, ἢ ὅπως πρὸς πολεμίους προσάγειν, ἢ ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν, ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν, ἢ ὅπως νάπας ἢ ποταμοὺς διαβαίνειν, ἢ ὅπως ἱππικὸν φυλάττεσθαι, ἢ ὅπως ἀκοντιστὰς ἢ τοξότας, καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγοντι οἱ πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι, καὶ εἴ σοι ἐπὶ φάλαγγος ἄγοντι ἀλλοθέν ποθεν οἱ πολέμιοι φανεῖεν, ἢ κατὰ πρόσωπον, ὅπως χρὴ ἀντιπαράγειν, ἢ ὅπως τὰ τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο, ἢ ὅπως τὰ σὰ ἥκιστα οἱ πολέμιοι εἰδεῖεν· ταῦτα δὲ πάντα τί ἂν ἐγὼ λέγοιμί σοι; Ὅσα τε γὰρ ἐγὼ ᾔδειν, πολλάκις ἀκήκοας· ἄλλως τε εἴ τις ἐδόκει τι τούτων ἐπίστασθαι, οὐδενὸς αὐτῶν ἠμέληκας, οὐδ' ἀδαὴς γεγένησαι. Δεῖ οὖν πρὸς τὰ συμβαίνοντα, οἶμαι, τούτοις χρῆσθαι, ὁποίοις ἄν σοι ἀεὶ συμφέρειν τούτων δοκῇ. Μάθε δέ μου, ὦ παῖ, καὶ τάδε, ἔφη, τὰ μέγιστα· παρὰ γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ' ἐν σαυτῷ μηδέποτε, μηδ' ἐν τῇ στρατιᾷ, κινδυνεύσῃς· κατανοῶν, ὡς ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδὲν, ἀπὸ ποίας ἔσται αὐτοῖς τἀγαθόν. Γνοίης δ' ἂν ἐξ αὐτῶν τῶν γιγνομένων. Πολλοὶ μὲν γὰρ ἤδη πόλεις ἔπεισαν, καὶ ταῦτα οἱ δοκοῦντες σοφώτατοι εἶναι, πόλεμον ἄρασθαι πρὸς τούτους, ὑφ' ὧν οἱ πεισθέντες ἐπιθέσθαι ἀπώλοντο. Πολλοὶ δὲ πολλοὺς ηὔξησαν ἤδη καὶ ἰδιώτας καὶ πόλεις, ὑφ' ὧν αὐξηθέντων τὰ μέγιστα κακὰ ἔπαθον. Πολλοὶ δὲ, οἷς ἐξῆν φίλοις χρῆσθαι, καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον βουληθέντες ἢ φίλοις χρῆσθαι, ὑπ' αὐτῶν τούτων δίκην ἔδοσαν. Πολλοῖς δ' οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως, ἐπιθυμήσαντες δὲ πάντων κύριοι εἶναι, διὰ ταῦτα καὶ ὧν εἶχον ἀπέτυχον, πολλοὶ δὲ τὸν πολύευκτον χρυσὸν κτησάμενοι, διὰ τοῦτον ἀπώλοντο. Οὕτως ἥ γε ἀνθρωπίνη σοφία οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖσθαι, ἢ εἰ κληρούμενος, ὅ,τι λάχοι, τοῦτό τις πράττοι. Θεοὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Πολιτιστικός Σύλλογος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δὲ, ὦ παῖ, αἰεὶ ὄντες πάντα ἴσασι, τά γεγενημένα, καὶ τὰ ὄντα, καὶ ὅ,τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσεται· καὶ τῶν συμβουλευομένων ἀνθρώπων οἷς ἂν ἵλεῳ ὦσι, προσημαίνουσιν ἅ τε χρὴ ποιεῖν, καὶ ἃ οὐ χρή. Εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν, ὧν ἂν μὴ θέλωσιν ἐπιμελεῖσθαι.

— Τοιαῦτα μὲν δὴ ἀφίκοντο διαλεγόμενοι μέχρι τῶν ὁρίων τῆς Περσίδος· ἐπεὶ δὲ αὐτοῖς ἀετὸς δεξιὸς φανεὶς προηγεῖτο, προσευξάμενοι θεοῖς καὶ ἥρωσι, τοῖς Περσίδα γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς πέμπειν σφᾶς, οὕτω διέβαινον τὰ ὅρια. Ἐπειδὴ δὲ διέβησαν, προσηύχοντο αὖθις θεοῖς, τοῖς Μηδίαν γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς δέχεσθαι αὐτούς. Ταῦτα δὲ ποιήσαντες, ἀσπασάμενοι ἀλλήλους, ὥσπερ εἰκὸς, ὁ μὲν πατὴρ πάλιν εἰς Πέρσας ἀπῄει, Κῦρος δὲ εἰς Μήδους πρὸς τὸν Κυαξάρην ἐπορεύετο

# ΞΕΝΟΦΩΝΤΟΣ

## ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ.

## Α'.

### Ἡ Δικαιολογία τοῦ Σωκράτους.

(Ἐκ τοῦ Α' Βιβλ.)

Πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. Ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε τις ἦν· ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεούς, οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. Πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θεούς, ποίῳ πότ' ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν, πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν· καὶ μαντικῇ χρώμενος

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημοτική Κεντρική Βιβλιοθήκη Ναυπάκτου

οὐκ ἀφανὴς ἦν· διετεθρύλλητο γάρ, ὡς φαίη Σωκράτης τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι, καινὰ δαιμόνια εἰσφέρειν. Ὁ δὲ οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι, μαντικὴν νομίζοντες, οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ ξυμβόλοις καὶ θυσίαις. Οὗτοί τε γὰρ ὑπολαμβάνουσιν, οὐ τοὺς ὄρνιθας οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ ξυμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν, κἀκεῖνος οὕτως ἐνόμιζεν. Ἀλλ' οἱ μὲν πλεῖστοι φασὶν ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἀπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι· Σωκράτης δὲ ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε. Τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν. Καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. Καὶ τοῖς μὲν πειθομένοις αὐτῷ ξυνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε. Καίτοι τίς οὐκ ἂν ὁμολογήσειεν αὐτὸν βούλεσθαι μήτ' ἠλίθιον, μήτ' ἀλαζόνα φαίνεσθαι τοῖς ξυνοῦσιν; ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων, ὡς ὑπὸ θεοῦ φαινόμενα κᾆτα ψευδόμενος ἐφαίνετο. Δῆλον οὖν, ὅτι οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπίστευεν ἀληθεύσειν. Ταῦτα δὲ τίς ἂν ἄλλῳ πιστεύσειεν ἢ θεῷ; πιστεύων δὲ θεοῖς, πῶς οὐκ εἶναι θεοὺς ἐνόμιζεν;

Ἀλλὰ μὴν ἐποίει καὶ τάδε πρὸς τοὺς ἐπιτηδείους. Τὰ μὲν γὰρ ἀναγκαῖα ξυνεβούλευε καὶ πράττειν, ὡς ἐνόμιζεν ἄριστ' ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων ὅπως ἂν ἀποβήσοιτο, μαντευσομένους ἔπεμπεν, εἰ ποιητέα. Καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν, μαντικῆς ἔφη προσδεῖσθαι. Τεκτονικὸν μὲν γὰρ ἢ χαλκευτικὸν ἢ γεωργικὸν ἢ ἀνθρώπων ἀρχικόν, ἢ τῶν τοιούτων ἔργων ἐξεταστικὸν ἢ λογιστικὸν ἢ οἰκονομικὸν ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ ἀνθρώπου γνώμῃ αἱρετέα ἐνόμιζεν εἶναι. Τὰ δὲ μέγιστα τῶν ἐν τούτοις ἔφη τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις. Οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον, ὅστις καρπώσεται· οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον, ὅστις οἰκήσει· οὔτε τῷ στρατηγικῷ δῆλον, εἰ ξυμφέρει στρατηγεῖν. Οὔτε τῷ πολεμικῷ δῆλον, εἰ ξυμφέρ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Πολιτιστικό ... Κέντρο
Βιβλιοθήκη Ναυπάκτου

τῆς πόλεως προστατεῖν· οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον, εἰ διὰ ταύτην ἀνιάσεται· οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λαβόντι δῆλον, εἰ διὰ τούτους στερήσεται τῆς πόλεως. Τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾷν ἔφη· δαιμονᾷν δὲ καὶ τοὺς μαντευομένους, ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν· οἷον, εἴ τις ἐπερωτῴη, πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον, ἢ μὴ ἐπιστάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾷν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν ἢ μὴ ἐπιστάμενον· ἢ ἃ ἔξεστιν ἀριθμήσαντας, ἢ μετρήσαντας, ἢ στήσαντας εἰδέναι· τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέμιστα ποιεῖν ἡγεῖτο· ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοί, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστί, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τοὺς θεοὺς γάρ, οἷς ἂν ὦσιν ἵλεῳ, σημαίνειν.

Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ· πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει, καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν, ὅπου πλείστοις μέλλοι ξυνέσεσθαι· καὶ ἔλεγε μὲν ὡς τὸ πολύ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν. Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβές, οὐδὲ ἀνόσιον οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. Οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως, ᾗπερ τῶν ἄλλων οἱ πλεῖστοι, διελέγετο, σκοπῶν, ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων. Ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυε. Καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερά ποτε νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι, ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν. Ἐθαύμαζε δέ, εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν, οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. Τῶν τε γὰρ μαινομένων τοὺς μὲν οὐδὲ τὰ



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μέν, οὔθ' ἱερὸν οὔτε βωμὸν οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾶν, τοὺς δὲ καὶ λίθους καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων, τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δὲ ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ κινεῖσθαι πάντα, τοῖς δὲ οὐδὲν ἄν ποτε κινηθῆναι· καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δὲ οὔτ' ἂν γενέσθαί ποτε οὐδὲν, οὔτε ἀπολέσθαι.

Ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε· ἆρ', ὥσπερ οἱ τἀνθρώπεια μανθάνοντες ἡγοῦνται τοῦθ', ὅ,τι ἂν μάθωσιν, ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ ἂν βούλωνται ποιήσειν, οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες νομίζουσιν, ἐπειδὰν γνῶσιν, αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν, ὅταν βούλωνται, καὶ ἀνέμους καὶ ὕδατα καὶ ὥρας καὶ ὅτου ἂν ἄλλου δέωνται τῶν τοιούτων; ἢ τοιοῦτο μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν, ἀρκεῖ δ' αὐτοῖς γνῶναι μόνον, ᾗ τῶν τοιούτων ἕκαστα γίγνεται. Περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων τοιαῦτα ἔλεγεν. Αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο, σκοπῶν, τί εὐσεβές, τί ἀσεβές· τί καλόν, τί αἰσχρόν· τί δίκαιον, τί ἄδικον· τί σωφροσύνη, τί μανία· τί ἀνδρία, τί δειλία· τί πόλις, τί πολιτικός· τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων· καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς εἶναι, τοὺς δὲ ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι.

Ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστὸν, ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι τοὺς δικαστάς· ὅσα δὲ πάντες ᾔδεσαν, θαυμαστὸν, εἰ μὴ τούτων ἐνεθυμήθησαν. Βουλεύσας γάρ ποτε καὶ τὸν βουλευτικὸν ὅρκον ὀμόσας, ἐν ᾧ ἦν κατὰ τοὺς νόμους βουλεύσειν, ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ ἀποκτεῖναι πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν, ἢ χαρίσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

φυλάξασθαι τοὺς ἀπειλοῦντας. Καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων, οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. Οὗτοι μὲν γὰρ οἴονται, τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δὲ οὐκ εἰδέναι· Σωκράτης δ' ἡγεῖτο πάντα μὲν θεοὺς εἰδέναι τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι, καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.

Θαυμάζω οὖν, ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι, Σωκράτην περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβὲς μὲν οὐδέν ποτε οὔτ' εἰπόντα οὔτε πράξαντα, τοιαῦτα δὲ καὶ λέγοντα καὶ πράττοντα περὶ θεῶν, οἷά τις ἂν καὶ λέγων καὶ πράττων εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος.

Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὅς, πρὸς τοῖς εἰρημένοις, πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν· εἶτα πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος· ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος, πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα. Πῶς οὖν αὐτὸς ὢν τοιοῦτος, ἄλλους ἂν ἢ ἀσεβεῖς ἢ παρανόμους ἢ λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; ἀλλ' ἔπαυσε μὲν τούτων πολλούς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχών, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι. Καί τοιγε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου· ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὤν, ἐλπίζειν ἐποίει τοὺς ξυνδιατρίβοντας ἑαυτῷ, μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι. Ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. Τὸ μὲν οὖν ὑπερεσθίοντα ὑπερπονεῖν ἀπεδοκίμαζε, τὸ δέ, ὅσα γ' ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. Ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν ἔφη. Ἀλλ' οὐ μὴν θρυπτικός γε, οὐδὲ ἀλαζονικὸς ἦν, οὔτ' ἀμπεχόνῃ, οὔθ' ὑποδέσει, οὔτε τῇ ἄλλῃ διαίτῃ. Οὐ μὴν οὐδ' ἐρασιχρημάτους γε τοὺς ξυνόντας ἐποίει. Τῶν μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε, τοὺς δὲ ἑαυτοῦ ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρήματα. Τούτου δ' ἀπεχομένους ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι τοὺς δὲ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι, διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν. Ἐθαύμαζε δὲ, εἴ τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον πράττοιτο, καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν, φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ φοβοῖτο, μὴ ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ τὴν μεγίστην χάριν ἕξοι. Σωκράτης δὲ ἐπηγγείλατο μὲν οὐδενὶ πώποτε τοιοῦτον οὐδέν· ἐπίστευε δὲ τῶν ξυνόντων αὐτῷ τοὺς ἀποδεξαμένους, ἅπερ αὐτὸς ἐδοκίμαζεν, εἰς τὸν πάντα βίον ἑαυτῷ τε καὶ ἄλλοις φίλους ἀγαθοὺς ἔσεσθαι. Πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους; εἰ μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν.

Ἀλλὰ, νὴ Δία, ὁ κατήγορος ἔφη, ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νόμων τοὺς ξυνόντας, λέγων, ὡς μωρῶν εἴη, τοὺς μὲν τῆς πόλεως ἄρχοντας ἀπὸ κυάμου καθίστασθαι, κυβερνήτῃ δὲ μηδένα θέλειν κεχρῆσθαι κυαμευτῷ, μηδὲ τέκτονι, μηδ' αὐλητῇ, μηδ' ἐπ' ἄλλα τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρτανόμενα ποιεῖ τῶν περὶ τὴν πόλιν ἁμαρτανομένων· τοὺς δὲ τοιούτους λόγους ἐπαίρειν ἔφη τοὺς νέους καταφρονεῖν τῆς καθεστώσης πολιτείας, καὶ ποιεῖν βιαίους. Ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ ξυμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι, διὰ δὲ τοῦ πείθειν ἀκινδύνως τε καὶ μετὰ φιλίας τὰ αὐτὰ γίγνεται. Οἱ μὲν γὰρ βιασθέντες, ὡς ἀφαιρεθέντες μισοῦσιν· οἱ δὲ πεισθέντες, ὡς κεχαρισμένοι φιλοῦσιν. Οὐκ οὖν τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν. Ἀλλὰ μὴν καὶ ξυμμάχων ὁ μὲν βιάζεσθαι τολμῶν, δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος, οὐδενός· καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. Καὶ φονεύειν τε τοῖς τοιούτοις ἥκιστα ξυμβαίνει· τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι;

**Ἀλλ'**, ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω, Κριτίας τε καὶ Ἀλκιβιάδης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

των πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο, Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος καὶ ὑβριστότατος. Ἐγὼ δὲ, εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, οὐ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην ξυνουσίαν αὐτοῖν, ὡς ἐγένετο, διηγήσομαι. Ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα δι' ἑαυτῶν πράττεσθαι, καὶ πάντων ὀνομαστοτάτω γενέσθαι. Ἤιδεσαν δὲ Σωκράτην ἀπ' ἐλαχίστων μὲν χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις ὅπως βούλοιτο. Ταῦτα δὲ ὁρῶντε, καὶ ὄντε οἵω προείρησθον, πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ Σωκράτους ἐπιθυμήσαντε καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν, ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ, ἢ νομίσαντε, εἰ ὁμιλησαίτην ἐκείνῳ, γενέσθαι ἂν ἱκανωτάτω λέγειν καὶ πράττειν; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, Θεοῦ διδόντος αὐτοῖν, ἢ ζῆν ὅλον τὸν βίον, ὥσπερ ζῶντα Σωκράτην ἑώρων, ἢ τεθνάναι, ἑλέσθαι ἂν αὐτὼ μᾶλλον τεθνάναι. Δήλω δ' ἐγενέσθην ἐξ ὧν ἐπραξάτην· ὡς γὰρ τάχιστα κρείττονε τῶν ξυγγινομένων ἡγησάσθην εἶναι, εὐθὺς ἀποπηδήσαντε Σωκράτους ἐπραττέτην τὰ πολιτικὰ, ὧνπερ ἕνεκα Σωκράτους ὠρεχθήτην.

Ἴσως οὖν εἴποι τις ἂν πρὸς ταῦτα, ὅτι χρῆν τὸν Σωκράτην μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς ξυνόντας ἢ σωφρονεῖν. Ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω· πάντας δὲ τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς δεικνύντας τοῖς μανθάνουσιν, ᾗπερ αὐτοὶ ποιοῦσιν ἃ διδάσκουσιν, καὶ τῷ λόγῳ προσβιβάζοντας. Οἶδα δὲ καὶ Σωκράτην δεικνῦντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρετῆς, καὶ τῶν ἄλλων ἀνθρωπίνων. Οἶδα δὲ κἀκείνω σωφρονοῦντε, ἔς τε Σωκράτει ξυνήστην, οὐ φοβουμένω μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ' οἰομένω τότε κράτιστον εἶναι τοῦτο πράττειν.

Ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων ὑβριστὴς, οὐδὲ ἄλλο οὐδὲν, ὧν μάθησίς ἐστιν, ὁ μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο. Ἐγὼ δὲ περὶ τούτων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

οὐχ οὕτω γιγνώσκω· ὁρῶ γάρ, ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε γάρ, ἃ δεῖ, πράττειν, οὔτε, ὧν δεῖ, ἀπέχεσθαι δύνανται. Διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, εἴργουσιν ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν, κατάλυσιν. Μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν ὅ,τε λέγων,

Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
Συμμιγέῃς, ἀπολεῖς καὶ τὸν ἐνόντα νόον.

καὶ ὁ λέγων,

Αὐτὰρ ἀνὴρ ἀγαθὸς τοτὲ μὲν κακός, ἄλλοτε δ' ἐσθλός.

Κἀγὼ δὲ μαρτυρῶ τούτοις· ὁρῶ γάρ, ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγιγνομένην. Ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπιθυμεῖ, τούτων δὲ ἐπιλαθόμενον, οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι.

Ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐκκυλισθέντας, ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. Πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι, πρὶν ἐρᾷν, ἐρασθέντες οὐκ ἔτι δύνανται· καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται. Πῶς οὖν οὐκ ἐνδέχεται, σωφρονήσαντα πρόσθεν, αὖθις μὴ σωφρονεῖν, καὶ δίκαια δυνηθέντα πράττειν, αὖθις ἀδυνατεῖν; Πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη. Ἐν τῷ γὰρ αὐτῷ σώματι ξυμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.

Καὶ Κριτίας δὴ καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει ξυν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ήστην, ἐδυνάσθην, ἐκείνῳ χρωμένω ξυμμάχῳ, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνου δ' ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν, ἐκεῖ ξυνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις· Ἀλκιβιάδης δ' αὖ διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει καὶ τοῖς ξυμμάχοις, ὑπὸ πολλῶν καὶ δυνατῶν κολακεύειν ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος, καὶ ῥᾳδίως πρωτεύων, ὥςπερ οἱ τῶν γυμνικῶν ἀγώνων ἀθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς ἀσκήσεως, οὕτω κἀκεῖνος ἠμέλησεν αὑτοῦ. Τοιούτων δὲ ξυμβάντων αὐτοῖν, καὶ ὠγκωμένω μὲν ἐπὶ γένει, ἐπηρμένω δ' ἐπὶ πλούτῳ, πεφυσημένω δ' ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω, καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε, τί θαυμαστὸν, εἰ ὑπερηφάνω ἐγενέσθην; Εἶτα, εἰ μέν τι ἐπλημμελησάτην, τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται, ὅτι δὲ νέω ὄντε αὐτῷ (ἡνίκα καὶ ἀγνωμονεστάτω καὶ ἀκρατεστάτω εἰκὸς εἶναι,) Σωκράτης παρέσχε σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι; Οὐ μὴν τάγε ἄλλα οὕτω κρίνεται. Τίς μὲν γὰρ αὐλητὴς, τίς δὲ καὶ κιθαριστὴς, τίς δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητὰς, ἐὰν πρὸς ἄλλους ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; Τίς δὲ πατὴρ, ἐὰν ὁ παῖς αὐτοῦ ξυνδιατρίβων τῳ σώφρων ᾖ, ὕστερον δὲ ἄλλῳ τῳ ξυγγενόμενος πονηρὸς γένηται, τὸν πρόσθεν αἰτιᾶται; ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον; ἀλλ' οἵγε πατέρες αὐτοὶ ξυνόντες τοῖς υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν, ἐὰν αὐτοὶ σωφρονῶσιν. Οὕτω δὲ καὶ Σωκράτην δίκαιον ἦν κρίνειν· εἰ μὲν αὐτὸς ἐποίει τι φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι· εἰ δὲ αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν ἔχοι;

Ἀλλ' εἰ καὶ μηδὲν αὐτὸς πονηρὸν ποιῶν, ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐπῄνει, δικαίως ἂν ἐπετιμᾶτο.

*

* *

Φαίην δ' ἂν ἔγωγε, μηδενὶ μηδεμίαν εἶναι παίδευσιν

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

παρὰ τοῦ μὴ ἀρέσκοντος. Κριτίας δὲ καὶ Ἀλκιβιάδης, οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους, ὡμιλησάτην, ὃν χρόνον ὡμιλείτην αὐτῷ, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως. Ἔτι γὰρ Σωκράτει ξυνόντες οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπεχείρουν διαλέγεσθαι ἢ τοῖς μάλιστα πράττουσι τὰ πολιτικά. Λέγεται γάρ, Ἀλκιβιάδην, πρὶν εἴκοσιν ἐτῶν εἶναι, Περικλεῖ ἐπιτρόπῳ μὲν ὄντι ἑαυτοῦ, προστάτῃ δὲ τῆς πόλεως, τοιάδε διαλεχθῆναι περὶ νόμων. Εἰπέ μοι, φάναι, ὦ Περίκλεις, ἔχοις ἄν με διδάξαι, τί ἐστι νόμος; Πάντως δήπου, φάναι τὸν Περικλέα. Δίδαξον δὴ πρὸς τῶν θεῶν, φάναι τὸν Ἀλκιβιάδην, ὡς ἔγωγ' ἀκούων τινῶν ἐπαινουμένων, ὅτι νόμιμοι ἄνδρες εἰσίν, οἶμαι μὴ ἂν δικαίως τούτου τυχεῖν τοῦ ἐπαίνου τὸν μὴ εἰδότα, τί ἐστι νόμος. Ἀλλ' οὐδέν τι χαλεποῦ πράγματος ἐπιθυμεῖς, ὦ Ἀλκιβιάδη, φάναι τὸν Περικλέα, βουλόμενος γνῶναι τί ἐστι νόμος· πάντες γὰρ οὗτοι νόμοι εἰσίν, οὓς τὸ πλῆθος ξυνελθὸν καὶ δοκιμάσαν ἔγραψε, φράζον ἅ τε δεῖ ποιεῖν, καὶ ἃ μή.—Πότερον δὲ τἀγαθὰ νομίσαν δεῖ ποιεῖν, ἢ τὰ κακά;—Τἀγαθὰ νὴ Δία, φάναι, ὦ μειράκιον, τὰ δὲ κακὰ, οὔ. Ἐὰν δὲ μὴ τὸ πλῆθος, ἀλλ' ὥσπερ ὅπου ὀλιγαρχία ἐστιν, ὀλίγοι ξυνελθόντες γράψωσιν, ὅ,τι δεῖ ποιεῖν, ταῦτα τί ἐστι; Πάντα, φάναι, ὅσα γ' ἂν τὸ κρατοῦν τῆς πόλεως βουλευσάμενον ἃ χρὴ ποιεῖν γράφῃ, νόμος καλεῖται — Καὶ ἂν τύραννος οὖν κρατῶν τῆς πόλεως γράφῃ τοῖς πολίταις, ἃ χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί; Καὶ ὅσα τύραννος ἄρχων, φάναι, γράφει, καὶ ταῦτα νόμος καλεῖται.—Βία δὲ, φάναι, καὶ ἀνομία τί ἐστιν, ὦ Περίκλεις; ἆρ' οὐχ ὅταν ὁ κρείττων τὸν ἥττω μὴ πείσας, ἀλλὰ βιασάμενος ἀναγκάσῃ ποιεῖν ὅ,τι ἂν αὐτῷ δοκῇ; Ἐμοί γε δοκεῖ, φάναι τὸν Περικλέα.— Καὶ ὅσα ἄρα τύραννος μὴ πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία ἐστί; Δοκεῖ μοι, φάναι τὸν Περικλέα· ἀνατίθεμαι γάρ τοι, ὅσα τύραννος μὴ πείσας γράφει, νόμον εἶναι·—Ὅσα δὲ οἱ ὀλίγοι τοῖς πολλοῖς, μὴ πείσαντες ἀλλὰ κρατοῦντες, γράφουσι, πότερον βίαν φῶμεν ἢ μὴ φῶμεν εἶναι; Πάντα μοι δοκεῖ, φάναι τὸν Περικλέα, ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴτε γράφων, εἴτε μή, βία μᾶλλον ἢ νόμος εἶναι.— Καὶ ὅσα ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τῶν, γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν εἴη; Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη, καὶ ἡμεῖς τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα ἦμεν· τοιαῦτα γὰρ καὶ ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα, οἷά περ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς μελετᾶν. Τὸν δὲ Ἀλκιβιάδην φάναι· Εἴθε σοι, ὦ Περίκλεις, τότε ξυνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα.— Ἐπεὶ τοίνυν τάχιστα τῶν πολιτευομένων ὑπέλαβον κρείττονες εἶναι, Σωκράτει μὲν οὐκ ἔτι προσῄεσαν, (οὔτε γὰρ αὐτοῖς ἄλλως ἤρεσκεν· εἴτε προσέλθοιεν, ὑπὲρ ὧν ἡμάρτανον ἐλεγχόμενοι ἤχθοντο), τὰ δὲ τῆς πόλεως ἔπραττον, ὧν περ ἕνεκεν καὶ Σωκράτει προσῆλθον. Ἀλλὰ Κρίτων τε Σωκράτους ἦν ὁμιλητής, καὶ Χαιρεφῶν, καὶ Χαιρεκράτης, καὶ Ἑρμοκράτης, καὶ Σιμμίας, καὶ Κέβης, καὶ Φαιδώνδης, καὶ ἄλλοι. οἳ ἐκείνῳ ξυνῆσαν οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ' ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ οἴκῳ, καὶ οἰκέταις, καὶ οἰκείοις, καὶ φίλοις, καὶ πόλει, καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι. Καὶ τούτων οὐδείς, οὔτε νεώτερος οὔτε πρεσβύτερος ὢν οὔτ' ἐποίησε κακὸν οὐδὲν, οὔτ' αἰτίαν ἔσχεν.

Ἀλλὰ Σωκράτης γ', ἔφη ὁ κατήγορος, τοὺς πατέρας προπηλακίζειν ἐδίδασκε, πείθων μὲν τοὺς ξυνόντας αὐτῷ σοφωτέρους ποιεῖν τῶν πατέρων, φάσκων δὲ κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι, τεκμηρίῳ τούτῳ χρώμενος, ὡς τὸν ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου νόμιμον εἴη δεδέσθαι. Σωκράτης δὲ τὸν μὲν ἀμαθίας ἕνεκα δεσμεύοντα δικαίως ἂν καὶ αὐτὸν ᾤετο δεδέσθαι ὑπὸ τῶν ἐπισταμένων, ἃ μὴ αὐτὸς ἐπίσταται· καὶ τῶν τοιούτων ἕνεκα πολλάκις ἐσκόπει, τί διαφέρει μανίας ἀμαθία· καὶ τοὺς μὲν μαινομένους ᾤετο ξυμφερόντως ἂν δεδέσθαι καὶ αὐτοῖς καὶ τοῖς φίλοις, τοὺς δὲ μὴ ἐπισταμένους τὰ δέοντα δικαίως ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων. Ἀλλὰ Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς πατέρας, ἀλλὰ καὶ τοὺς ἄλλους ξυγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ εἶναι παρὰ τοῖς αὐτῷ ξυνοῦσι, λέγων, ὡς οὔτε τοὺς κάμνοντας οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροί, τοὺς δὲ οἱ ξυνδικεῖν ἐπιστάμενοι. Ἔφη δὲ, καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δύν-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

σονται· μόνους δὲ, φάσκειν αὐτὸν, ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα καὶ ἑρμηνεῦσαι δυναμένους· ἀναπείθοντα οὖν τοὺς νέους αὐτὸν, ὡς αὐτὸς εἴη σοφώτατός τε καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφοὺς, οὕτω διατιθέναι τοὺς αὐτῷ ξυνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν. Ἐγὼ δὲ αὐτὸν οἶδα μὲν καὶ περὶ πατέρων τε καὶ ἄλλων ξυγγενῶν καὶ φίλων ταῦτα λέγοντα· καὶ πρὸς τούτοις γε δὴ, ὅτι, τῆς ψυχῆς ἐξελθούσης, ἐν ᾗ μόνῃ γίνεται φρόνησις, τὸ σῶμα τοῦ οἰκειοτάτου ἀνθρώπου τὴν ταχίστην ἐξενέγκαντες ἀφανίζουσιν. Ἔλεγε δὲ, ὅτι καὶ ζῶν ἕκαστος ἑαυτοῦ ὃ πάντων μάλιστα φιλεῖ, τοῦ σώματος ὅ,τι ἂν ἀχρεῖον ᾖ καὶ ἀνωφελὲς, αὐτός τε ἀφαιρεῖ καὶ ἄλλῳ παρέχει· αὐτοί τε γὰρ αὑτῶν ὄνυχάς τε καὶ τρίχας καὶ τύλους ἀφαιροῦσι, καὶ τοῖς ἰατροῖς παρέχουσι μετὰ πόνων τε καὶ ἀλγηδόνων καὶ ἀποτέμνειν καὶ ἀποκαίειν, καὶ τούτου χάριν οἴονται δεῖν αὐτοῖς καὶ μισθὸν τίνειν· καὶ τὸν σίαλον ἐκ τοῦ στόματος ἀποπτύουσιν ὡς δύνανται πορρωτάτω, διότι ὠφελεῖ μὲν οὐδὲν αὐτοὺς ἐνὸν, βλάπτει δὲ πολὺ μᾶλλον. Ταῦτα μὲν οὖν ἔλεγεν, οὐ τὸν μὲν πατέρα ζῶντα κατορύττειν διδάσκων, ἑαυτὸν δὲ κατατέμνειν· ἀλλ' ἐπιδεικνύων, ὅτι τὸ ἄφρον ἄτιμόν ἐστι. Καὶ παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς φρονιμώτατον εἶναι καὶ ὠφελιμώτατον, ὅπως, ἐάν τε ὑπὸ πατρὸς, ἐάν τε ὑπὸ ἀδελφοῦ, ἐάν τε ὑπ' ἄλλου τινὸς βούληται τιμᾶσθαι, μὴ, τῷ οἰκεῖος εἶναι πιστεύων, ἀμελῇ, ἀλλὰ πειρᾶται, ὑφ' ὧν ἂν βούληται τιμᾶσθαι, τούτοις ὠφέλιμος εἶναι. Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς ξυνόντας κακούργους εἶναι καὶ τυραννικούς· Ἡσιόδου μὲν τὸ,

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος·

τοῦτο δὴ λέγειν αὐτὸν, ὡς ὁ ποιητὴς κελεύοι μηδενὸς ἔργου μήτε ἀδίκου, μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει. Σωκράτης δ' ἐπεὶ διωμολογήσατο, τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακὸν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ δὲ ἀργεῖν κακόν· τοὺς μὲν ἀγαθόν τι ποιοῦντας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἐργάζεσθαί τε ἔφη, καὶ ἐργάτας εἶναι· τοὺς δὲ κυβεύοντας, ἤ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας ἀργοὺς ἀπεκάλει. Ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ

Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄν ειδος.

Τὸ δὲ Ὁμήρου ἔφη ὁ κατήγορος πολλάκις αὐτὸν λέγειν, ὅτι Ὀδυσσεὺς

Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Τὸν δ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
Δαιμόνι', οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι,
Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ·
Δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,
Οἵ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
Οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ.

Ταῦτα δὴ αὐτὸν ἐξηγεῖσθαι, ὡς ὁ ποιητὴς ἐπαινοίη παίεσθαι τοὺς δημότας καὶ πένητας. Σωκράτης δ' οὐ ταῦτ' ἔλεγεν (καὶ γὰρ ἑαυτὸν οὕτω γ' ἂν ᾤετο δεῖν παίεσθαι), ἀλλ' ἔφη, δεῖν τοὺς μήτε λόγῳ, μήτε ἔργῳ ὠφελίμους ὄντας, καὶ μήτε στρατεύματι μήτε πόλει, μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι, βοηθεῖν ἱκανούς, ἄλλως τ' ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι τυγχάνωσιν ὄντες. Ἀλλὰ Σωκράτης γε, τἀναντία τούτων, φανερὸς ἦν καὶ δημοτικὸς καὶ φιλάνθρωπος ὤν. Ἐκεῖνος γὰρ πολλοὺς ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβών, οὐδένα πώποτε μισθὸν τῆς ξυνουσίας ἐπράξατο, ἀλλὰ πᾶσιν ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ, ὧν τινες μικρὰ μέρη παρ' ἐκείνου προῖκα λαβόντες, πολλοῦ τοῖς ἄλλοις ἐπώλουν, καὶ οὐκ ἦσαν, ὥσπερ ἐκεῖνος, δημοτικοί. Τοῖς γὰρ μὴ ἔχουσι χρήματα διδόναι οὐκ ἤθελον διαλέγεσθαι. Ἀλλὰ Σωκράτης γε καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους κόσμον τῇ πόλει παρεῖχε, πολλῷ μᾶλλον ἢ Λίχας τῇ Λακεδαιμονίων, ὃς ὀνομαστὸς ἐπὶ τούτῳ γέγονε. Λίχας μὲν γὰρ ταῖς γυμνοπαιδίαις τοὺς ἐπιδημοῦντας ἐν Λακεδαίμονι ξένους ἐδείπνιζε· Σωκράτης δὲ διὰ παντὸς τοῦ βίου τὰ ἑαυτοῦ δαπανῶν, τὰ μέγι-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

στα πάντας τοὺς βουλομένους ὠφέλει· βελτίους γὰρ ποιῶν τοὺς ξυγγινομένους ἀπέπεμπεν.

Ἐμοὶ μὲν δὴ Σωκράτης, τοιοῦτος ὤν, ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου· καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις τοῦθ' εὕροι. Κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων, ἢ λωποδυτῶν, ἢ βαλαντιοτομῶν, ἢ τοιχωρυχῶν, ἢ ἀνδραποδιζόμενος, ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν.

Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς ξυμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο. Οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν· ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε. Πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ; ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων· ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὃ δὴ ὁ γραψάμενος αὐτὸν ᾐτιᾶτο, φανερὸς ἦν τῶν ξυνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας, τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν· ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

---

## Β.′

### Διάλογος τοῦ Σωκράτους μετὰ τοῦ Ἀριστίππου Περὶ Ἐγκρατείας.

Ἐκ τοῦ Β′. Βιβλ.

Ἐδόκει δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν τοὺς ξυνόντας ἀσκεῖν ἐγκράτειαν πρὸς ἐπιθυμίαν βρωτοῦ, καὶ ποτοῦ καὶ λαγνείας, καὶ ὕπνου, καὶ ῥίγους, καὶ θάλπους καὶ πόνου. Γνοὺς δέ τινα τῶν ξυνόντων ἀκολαστοτέρως ἔχοντα πρὸς τὰ τοιαῦτα, Εἰπέ μοι, ἔφη, ὦ Ἀρίστιππε, εἰ δέοι σε παιδεύειν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

παραλαβόντα δύο τῶν νέων, τὸν μὲν, ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δὲ, ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτεραν παιδεύοις; Βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς ὥσπερ ἀπὸ τῶν στοιχείων; Καὶ ὁ Ἀρίστιππος ἔφη, Δοκεῖ οὖν μοι ἡ τροφὴ ἀρχὴ εἶναι· οὐδὲ γὰρ ζῴη γ' ἄν τις, εἰ μὴ τρέφοιτο.—Οὐκοῦν τὸ μὲν βούλεσθαι σίτου ἅπτεσθαι, ὅταν ὥρα ἥκῃ, ἀμφοτέροις εἰκὸς παραγίγνεσθαι; Εἰκὸς γὰρ, ἔφη.—Τὸ οὖν προαιρεῖσθαι τὸ κατεπεῖγον μᾶλλον πράττειν, ἢ τῇ γαστρὶ χαρίζεσθαι, πότερον ἂν αὐτῶν ἐθίζοιμεν;—Τὸν εἰς τὸ ἄρχειν, ἔφη, νὴ Δία παιδευόμενον, ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀρχήν.—Οὐκοῦν, ἔφη, καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον;—Πάνυ μὲν οὖν, ἔφη.— Τὸ δὲ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ κοιμηθῆναι, καὶ πρωῒ ἀναστῆναι, καὶ ἀγρυπνῆσαι, εἴ τι δέοι, ποτέρῳ ἂν προσθείημεν;—Καὶ τοῦτο, ἔφη τῷ αὐτῷ.....— Τί δὲ, τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴν ὑπομένειν, ποτέρῳ ἂν προσθείημεν;— Καὶ τοῦτο, ἔφη, τῷ ἄρχειν παιδευομένῳ.—Τί δὲ, τὸ μαθεῖν, εἴ τι ἐπιτήδειόν ἐστι μάθημα πρὸς τὸ κρατεῖν τῶν ἀντιπάλων, ποτέρῳ ἂν προσεῖναι μᾶλλον πρέποι;— Πολὺ νὴ Δί', ἔφη, τῷ ἄρχειν παιδευομένῳ· καὶ γαρ καὶ τῶν ἄλλων οὐδὲν ὄφελος ἄνευ τῶν τοιούτων μαθημάτων.—Οὐκοῦν ὁ οὕτω πεπαιδευμένος ἧττον ἂν δοκεῖ σοι ὑπὸ τῶν ἀντιπάλων ἢ τὰ λοιπὰ ζῶα ἁλίσκεσθαι; τούτων γὰρ δήπου τὰ μὲν γαστρὶ δελεαζόμενα, καὶ μάλα ἔνια δυσωπούμενα, ὅμως τῇ ἐπιθυμίᾳ τοῦ φαγεῖν ἀγόμενα πρὸς τὸ δέλεαρ ἁλίσκεται, τὰ δὲ ποτῷ ἐνεδρεύεται.—Πάνυ μὲν οὖν ἔφη.....— Τὸ δὲ εἶναι μὲν τὰς ἀναγκαιοτάτας πλείστας πράξεις τοῖς ἀνθρώποις ἐν ὑπαίθρῳ, οἷον τάς τε πολεμικὰς καὶ τὰς γεωργικὰς καὶ τῶν ἄλλων οὐ τὰς ἐλαχίστας, τοὺς δὲ πολλοὺς ἀγυμνάστως ἔχειν πρός τε ψύχη καὶ πρὸς θάλπη, οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι; —Ξυνέφη καὶ τοῦτο.—Οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρχειν ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν;— Πάνυ μὲν οὖν, ἔφη. — Οὐκοῦν εἰ τοὺς ἐγκρατεῖς τούτων ἁπάντων εἰς τοὺς ἀρχικοὺς τάττομεν, τοὺς ἀδυνάτους ταῦτα ποιεῖν εἰς τοὺς μηδ' ἀντιποιησομένους τοῦ ἄρχειν τάξομεν;— Ξυνέφη καὶ τοῦτο. — Τί οὖν, ἐπειδὴ

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ τούτων ἑκατέρου τοῦ φύλου τὴν τάξιν οἶσθα, ἤδη ποτ' ἐπισκέψω, εἰς ποτέραν τῶν τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις;—Ἔγωγ', ἔφη ὁ Ἀρίστιππος, οὐδ' ὅλως γε τάττω ἐμαυτὸν εἰς τὴν τῶν ἄρχειν βουλομένων τάξιν. Καὶ γὰρ πάνυ μοι δοκεῖ ἄφρονος ἀνθρώπου εἶναι τὸ μεγάλου ἔργου ὄντος τοῦ ἑαυτῷ τὰ δέοντα παρασκευάζειν, μὴ ἀρκεῖν τοῦτο, ἀλλὰ προσαναθέσθαι τὸ καὶ τοῖς ἄλλοις πολίταις, ὧν δέονται, πορίζειν· καὶ ἑαυτῷ μὲν πολλὰ ὧν βούλεται ἐλλείπειν, τῆς δὲ πόλεως προεστῶτα, ἐὰν μὴ πάντα, ὅσα ἡ πόλις βούλεται, καταπράττῃ, τούτου δίκην ὑπέχειν, τοῦτο πῶς οὐ πολλὴ ἀφροσύνη ἐστί; Καὶ γὰρ ἀξιοῦσιν αἱ πόλεις τοῖς ἄρχουσιν, ὥσπερ ἐγὼ τοῖς οἰκέταις χρῆσθαι. Ἐγώ τε γὰρ ἀξιῶ τοὺς θεράποντας ἐμοὶ μὲν ἄφθονα τὰ ἐπιτήδεια παρασκευάζειν, αὐτοὺς δὲ μηδενὸς τούτων ἅπτεσθαι αἵ τε πόλεις οἴονται χρῆναι τοὺς ἄρχοντας ἑαυταῖς μὲν ὡς πλεῖστα ἀγαθὰ πορίζειν, αὐτοὺς δὲ πάντων τούτων ἀπέχεσθαι. Ἐγὼ οὖν τοὺς μὲν βουλομένους πολλὰ πράγματα ἔχειν αὐτούς τε καὶ ἄλλοις παρέχειν, οὕτως ἂν παιδεύσας εἰς τοὺς ἀρχικοὺς καταστήσαιμι. Ἐμαυτὸν τοίνυν τάττω εἰς τοὺς βουλομένους ᾗ ῥᾷστά τε καὶ ἥδιστα βιοτεύειν. Καὶ ὁ Σωκράτης ἔφη, Βούλει οὖν καὶ τοῦτο σκεψώμεθα, πότεροι ζῶσιν ἥδιον, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι; —Πάνυ μὲν οὖν, ἔφη.—Πρῶτον μὲν τοίνυν τῶν ἐθνῶν, ὧν ἡμεῖς ἴσμεν, ἐν μὲν τῇ Ἀσίᾳ, Πέρσαι μὲν ἄρχουσιν, ἄρχονται δὲ Σύροι καὶ Φρύγες καὶ Λυδοί· ἐν δὲ τῇ Εὐρώπῃ, Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ ἄρχονται· ἐν δὲ τῇ Λιβύῃ, Καρχηδόνιοι μὲν ἄρχουσι, Λίβυες δὲ ἄρχονται. Τούτων οὖν ποτέρους ἥδιον οἴει ζῆν; ἢ τῶν Ἑλλήνων, ἐν οἷς καὶ αὐτὸς εἶ, πότεροί σοι δοκοῦσιν ἥδιον οἱ κρατοῦντες ἢ οἱ κρατούμενοι ζῆν;—Ἀλλ' ἐγώ τοι, ἔφη ὁ Ἀρίστιππος, οὐδὲ εἰς τὴν δουλείαν αὖ ἐμαυτὸν τάττω· ἀλλ' εἶναί τις μοι δοκεῖ μέση τούτων ὁδός, ἣν πειρῶμαι βαδίζειν, οὔτε δι' ἀρχῆς, οὔτε διὰ δουλείας, ἀλλὰ δι' ἐλευθερίας, ἥπερ μάλιστα πρὸς εὐδαιμονίαν ἄγει. Ἀλλ' εἰ μέντοι, ἔφη ὁ Σωκράτης, ὥσπερ οὔτε δι' ἀρχῆς οὔτε διὰ δουλείας ἡ ὁδὸς αὕτη φέρει, οὕτω μηδὲ διὰ ἀνθρώπων, ἴσως ἄν τι λέγοις· εἰ μέντοι ἐν ἀνθρώποις ὢν μήτε ἄρχειν ἀξιώσεις, μήτε ἄρχεσθαι, μήτε τοὺς ἄρχοντας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ἑκὼν θεραπεύσεις, οἶμαί σε ὁρᾷν, ὡς ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας, καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθίσαντες, ὡς δούλοις χρῆσθαι. Ἢ λανθάνουσί σε οἱ ἄλλων σπειράντων καὶ φυτευσάντων τόν τε σῖτον τέμνοντες καὶ δενδροκοποῦντες, καὶ πάντα τρόπον πολιορκοῦντες τοὺς ἥττονας καὶ μὴ θέλοντας θεραπεύειν, ἕως ἂν πείσωσιν ἑλέσθαι δουλεύειν ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσι; καὶ ἰδίᾳ αὖ οἱ ἀνδρεῖοι καὶ δυνατοὶ τοὺς ἀνάνδρους καὶ ἀδυνάτους οὐκ οἶσθα ὅτι καταδουλωσάμενοι καρποῦνται;—Ἀλλ' ἐγώ τοι, ἔφη, ἵνα μὴ πάσχω ταῦτα, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν κατακλείω, ἀλλὰ ξένος πανταχοῦ εἰμί. Καὶ ὁ Σωκράτης ἔφη, τοῦτο μέντοι ἤδη λέγεις δεινὸν πάλαισμα· τοὺς γὰρ ξένους, ἐξ οὗ ὅ τε Σίννις καὶ ὁ Σκείρων καὶ ὁ Προκρούστης ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ. Ἀλλὰ νῦν μὲν οἱ πολιτευόμενοι ἐν ταῖς πατρίσι καὶ νόμους τίθενται, ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθούς, καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα κτῶνται οἷς ἀμύνονται τοὺς ἀδικοῦντας, καὶ πρὸς τούτοις ἄλλους ἔξωθεν ξυμμάχους κατασκευάζονται· καὶ οἱ μὲν πάντα ταῦτα κεκτημένοι ὅμως ἀδικοῦνται. Σὺ δὲ οὐδὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς, ἔνθα πλεῖστοι ἀδικοῦται, πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν δ' ἂν πόλιν ἀφίκῃ, τῶν πολιτῶν πάντων ἥττων ὤν, καὶ τοιοῦτος οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι ἀδικεῖν, ὅμως, διὰ τὸ ξένος εἶναι, οὐκ ἂν οἴει ἀδικηθῆναι; ἤ, διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν καὶ προσιόντι καὶ ἀπιόντι, θαῤῥεῖς; ἢ διότι καὶ δοῦλος ἂν οἴει τοιοῦτος εἶναι, οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖν; τίς γὰρ ἂν ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν, πονεῖν μὲν μηδὲν ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ διαίτῃ χαίροντα; Σκεψώμεθα δὲ καὶ τοῦτο, πῶς οἱ δεσπόται τοῖς τοιούτοις οἰκέταις χρῶνται. Ἆρα οὐ τὴν μὲν λαγνείαν αὐτῶν τῷ λιμῷ σωφρονίζουσι; κλέπτειν δὲ κωλύουσιν, ἀποκλείοντες ὅθεν ἄν τι λαβεῖν ᾖ; τοῦ δὲ δραπετεύειν δεσμοῖς ἀπείργουσι; τὴν ἀργίαν δὲ πληγαῖς ἐξαναγκάζουσιν; ἢ σὺ πῶς ποιεῖς, ὅταν τῶν οἰκετῶν τινὰ τοιοῦτον ὄντα καταμανθάνῃς;—Κολάζω, ἔφη, πᾶσι κακοῖς, ἕως ἂν δουλεύειν ἀναγκάσω. Ἀλλὰ γάρ, ὦ Σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην παιδευόμενοι, ἣν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης κακοπαθούντων, εἴ γε πεινήσουσι, καὶ διψήσουσι, καὶ ῥιγώσουσι, καὶ ἀγρυπνήσουσι, καὶ τἆλλα πάντα μοχθήσουσιν ἑκόντες; Ἐγὼ μὲν γὰρ οὐκ οἶδ', ὅ,τι διαφέρει τὸ αὐτὸ δέρμα ἑκόντα ἢ ἄκοντα μαστιγοῦσθαι, ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς τοιούτοις ἑκόντα ἢ ἄκοντα πολιορκεῖσθαι· ἄλλο γε ἢ ἀφροσύνη πρόσεστι τῷ θέλοντι τὰ λυπηρὰ ὑπομένειν; — Τί δ', ὦ Ἀρίστιππε, ὁ Σωκράτης ἔφη, οὐ δοκεῖ σοι τῶν τοιούτων διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων, ἢ ὁ μὲν ἑκὼν πεινῶν, φάγοι ἂν ὁπότε βούλοιτο, καὶ ὁ ἑκὼν διψῶν, πίοι, καὶ τἆλλ' ὡσαύτως· τῷ δ' ἐξ ἀνάγκης ταῦτα πάσχοντι οὐκ ἔξεστιν, ὁπότ' ἂν βούληται, παύεσθαι; ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται· οἷον οἱ τὰ θηρία θηρῶντες ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι. Καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσωνται, ἢ ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς, καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι, καὶ τοὺς φίλους εὖ ποιῶσι, καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα, καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτοὺς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων; Ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὥς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν, αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὥς φασιν οἱ ἀγαθοὶ ἄνδρες· λέγει δέπου καὶ Ἡσίοδος

Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
Ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν,
Καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

Μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγαθ' οἱ θεοί.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους (ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται) ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. Φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο (ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι᾽ ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας), ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται. Καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δέ, ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴτις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. Ὡς δ᾽ ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν, φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν. „Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. Ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. Πρῶτον μὲν γὰρ οὐ πολέμων, οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διοίσῃ, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης,...... καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. Ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ᾽ ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι· Ἀλλ᾽ οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι· πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω."



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, Ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν;

„ Ἡ δὲ, Οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντες ὑποκοριζόμενοι, ὀνομάζουσί με Κακίαν" Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε „ Καὶ ἐγὼ ἥκω πρὸς σὲ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. Ουκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ', ᾗπερ οἱ θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς (ἐπ' ἀρετῇ) θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν, καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι."—Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν (ὥς φησι Πρόδικος), „ Ἐννοεῖς ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε." Καὶ ἡ Ἀρετὴ εἶπεν „ Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι, πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς οἴνους τε πολυ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς. ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζῃ. Οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μὴ ἔχειν ὅ,τι ποιῇς, ὕπνου ἐπιθυμεῖς ... Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέῤῥιψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. Τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἵ, νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος φερόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι· τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον, οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται. Τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις οἷς προσήκει· ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. Ὕπνος δὲ αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖ ἀμόχθοις, καὶ οὔτε ἀπολιπόντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. Καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες. δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. Ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. Τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην Εὐδαιμονίαν κε-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

κτᾶσθαι. Οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν ἢ ἐγὼ νῦν. Σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

---

# Γ.

## Διαλογὸς τοῦ Σωκράτους μετὰ τοῦ Λαμπροκλέους.

### Περὶ Ἀχαριστίας.

(Ἐκ τοῦ Β'. Βιβλ.)

Αἰσθόμενος δέ ποτε Λαμπροκλέα, τὸν πρεσβύτατον υἱὸν ἑαυτοῦ, πρὸς τὴν μητέρα χαλεπαίνοντα, Εἰπέ μοι ἔφη, ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; — Καὶ μάλα, ἔφη ὁ νεανίσκος.—Καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν;—Ἔγωγ', ἔφη. Τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν.— Οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους;—Ἔμοιγ', ἔφη.—Ἤδη δέ ποτε ἐσκέψω εἰ ἄρα ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον εἶναι, οὕτω καὶ τὸ ἀχαριστεῖν πρὸς τοὺς μὲν φίλους ἀδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον;—Καὶ μάλα, ἔφη· καὶ δοκεῖ μοι ὑφ' ὧν ἄν τις εὖ παθὼν, εἴ τε φίλου, εἴ τε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι.—Οὐκοῦν, εἴ γ' οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία; Συνωμολόγει.—Οὐκοῦν ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν, μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; Συνέφη καὶ τοῦτο.— Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐεργετημένους ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσιν τοῖς ἀνθρώποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παν-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν. Καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσουσαι. Καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνοις ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοί, μεστὰ δὲ τὰ οἰκήματα· φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο αἷς συνελθόντες τεκνοποιούμεθα. Καὶ ὁ μὲν ἀνὴρ τήν τε συντεκνοποιήσουσαν ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸ τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα. Ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς τροφῆς, ᾗ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενέγκασα καὶ τεκοῦσα τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθόν, οὔτε γιγνῶσκον τὸ βρέφος ὑφ' ὅτου εὖ πάσχει, οὔτε σημαίνειν δυνάμενον ὅτου δεῖται· ἀλλ' αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον, καὶ ἡμέρας καὶ νύκτας ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα τίνα τούτων χάριν ἀπολήψεται· καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καὶ ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν, ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται, ὡς δυνατόν, βέλτιστοι.—Πρὸς ταῦτα ὁ νεανίσκος, ἔφη, Ἀλλά τοι, εἰ καὶ ταῦτα πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα.—Καὶ ὁ Σωκράτης, Πότερα δὲ οἴει, ἔφη, θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι ἢ μητρός;—Ἐγὼ μὲν οἶμαι, ἔφη, τῆς μητρὸς τῆς γε τοιαύτης.—Ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τί σοι ἔδωκεν, ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον;—Ἀλλὰ νὴ Δία, ἔφη, λέγει, ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι.—Σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης, οἴει ταύτῃ δυσάνεκτα καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ νυκτὸς πράγ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ματα παρασχεῖν, πόσα δὲ λυπῆσαι κάμνων;—Ἀλλ' οὐδέποτε αὐτήν, ἔφη, οὔτ' εἶπα, οὔτ' ἐποίησα οὐδέν, ἐφ' ᾧ ᾐσχύνθη.—Τί δ' οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν, ὧν αὐτὴ λέγει ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳδίαις ἀλλήλους τὰ ἔσχατα λέγωσιν; ἀλλ' οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν, ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι· σὺ δ' εὖ εἰδώς, ὅτι ἃ λέγει σοι ἡ μήτηρ, οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι, ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; Ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι;—Οὐ δῆτα, ἔφη, τοῦτό γε οὐκ οἴομαι.—Καὶ ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, ταύτην, εὔνουν τέ σοι οὖσαν, καὶ ἐπιμελομένην, ὡς μάλιστα δύναται, κάμνοντος ὅπως ὑγιάνῃς τε καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις, πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ, καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φῄς; ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην μὴ δύνασαι φέρειν μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν. Εἰπὲ δέ μοι, ἔφη, πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν; ἢ παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, μηδ' ἕπεσθαι, μήτε πείθεσθαι, μήτε στρατηγῷ, μήτε ἄλλῳ ἄρχοντι;—Ναὶ μὰ Δία ἔγωγε, ἔφη.—Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τέ σοι γίγνηται συλλήπτωρ, καὶ ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι;—Ἔγωγ' ἔφη.—Τί δέ; συνοδοιπόρον ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἂν σοι διαφέροι φίλον ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι;—Ἔγωγ' ἔφη.—

—Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας, ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον, ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξαντος; καὶ νὴ Δία ἐάν τις τῶν γο-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νίων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις. Σὺ μὲν οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι εἴ τι παρημέληκας τῆς μητρὸς, μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι οὐκ ἐθέλωσιν εὖ ποιεῖν, τοὺς δὲ ἀνθρώπους αὖ φυλάξῃ μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. Εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.

## Δ΄

### Διάλογος τοῦ Σωκράτους μετὰ τοῦ Χαιρεκράτους Περὶ Φιλαδελφείας.

[Ἐκ τοῦ Β΄. Βιβλ.]

Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρεκράτην, Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ δήπου καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφούς; καὶ ταῦτα τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου, καὶ τῶν μὲν βοηθείας δεομένων, τοῦ δὲ βοηθεῖν δυναμένου καὶ πρὸς τούτοις τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δὲ ἑνός. Θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει, ἀλλ' ἐνταῦθα μὲν δύναται λογίζεσθαι ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς ἀρκοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι· ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. Καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι, τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. Καὶ μὴν πρὸς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι· ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. Πρὸς δὲ τούτοις καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους ὄντας τῶν ἀναδέλφων καὶ ἧττον τούτοις ἐπιτίθενται.—Καὶ ὁ Χαιρεκράτης εἶπεν, Ἀλλ᾽ εἰ μὲν ὦ Σώκρατες μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφόν, καὶ μὴ μικρῶν ἕνεκα φεύγειν· ἀγαθὸν γάρ, ὥσπερ καὶ σὺ λέγεις, ἀδελφός, ὢν οἷον δεῖ· ὁπότε μέντοι παντὸς ἐνδέοι καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις;—Καὶ ὁ Σωκράτης ἔφη, Πότερα δέ, ὦ Χαιρέκρατες οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοί, ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκει; Διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτόν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δέ, ὅπου ἂν παρῇ, πανταχοῦ καὶ ἔργῳ καὶ λόγῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν.—Ἆρ᾽ οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μέν, ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστίν, οὕτω καὶ ἀδελφός, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστί;—Πῶς δ᾽ ἂν ἐγώ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν, οὐκ ἂν δυναίμην οὔτ᾽ εὖ λέγειν οὔτ᾽ εὖ ποιεῖν, ἀλλ᾽ οὐδὲ πειράσομαι.—Καὶ ὁ Σωκράτης ἔφη, Θαυμαστά γε λέγεις ὦ Χαιρέκρατες, εἰ κύνα μέν, εἴ σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος καὶ τοὺς μὲν ποιμένας ἠσπάζετο, σοὶ δὲ προσιόντι ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι, ἐπειρῶ εὖ ποιήσας πραΰνειν αὐτόν, τὸν δὲ ἀδελφόν, ὃν φῂς μὲν μέγα ἂν ἀγαθὸν εἶναι, ὄντα πρός σε οἷον δεῖ, ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ ἐπιχειρεῖς μηχανᾶσθαι, ὅπως σοι ὡς βέλτιστος ᾖ;—Καὶ ὁ Χαιρεκράτης, Δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν, ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ.—Καὶ μὴν οὐδέν γε ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ᾽ αὐτόν, ὡς ἐμοὶ δοκεῖ μηχανᾶσθαι· οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτός, οἶμαι ἂν αὐτὸν ἁλόντα περὶ πολλοῦ ποιεῖσθαί σε.—Οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ᾔσθησαί με φίλτρου ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

λέληθα ἐμαυτόν;' Λέγε δή μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποιοίης;—Δῆλον ὅτι κατάρχοιμι ἂν τοῦ αὐτός, ὅτε θύοιμι, καλεῖν ἐκεῖνον.—Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης;—Δῆλον ὅτι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη.—Εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτόν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης;—Δῆλον ὅτι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἄν, ὁπότε ἔλθοι Ἀθήναζε. Καὶ εἴ γε βουλοίμην αὐτὸν προθυμεῖσθαι διαπράττειν μοι ἐφ' ἃ ἥκοιμι, δῆλον ὅτι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν.—Πάντα ἄρα σύ γε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεκρύπτου· ἢ ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; Καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. Εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναι σοῦ πρὸς τὴν πρᾶξιν ταύτην, ἐκεῖνον ἂν ἐπειρώμην πείθειν πρότερον ἐγχειρεῖν τῷ σε φίλον ποιεῖσθαι· νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο.—Καὶ ὁ Χαιρεκράτης εἶπεν, Ἄτοπα λέγεις, ὦ Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώτερον ὄντα καθηγεῖσθαι. Καί τοι τούτου γε παρὰ πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λόγου.—Πῶς; ἔφη ὁ Σωκράτης. Οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον πρεσβυτέρῳ τυγχάνοντι πανταχοῦ νομίζεται, καὶ καθήμενον ὑπαναστῆναι, καὶ κοίτῃ μαλακῇ τιμῆσαι, καὶ λόγων ὑπεῖξαι; Ὠγαθέ, μὴ ὄκνει, ἔφη, ἀλλ' ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν, καὶ πάνυ ταχύ σοι ὑπακούσεται. Οὐχ ὁρᾷς, ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις, ἢ εἰ διδοίης τι· τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργάσαιο. Καὶ ὁ Χαιρεκράτης εἶπεν, ἐὰν οὖν ἐμοῦ ταῦτα ποιοῦντος ἐκεῖνος μηδὲν βελτίων γίγνηται;—Τί γὰρ ἄλλο, ἔφη ὁ Σωκράτης, ἢ κινδυνεύσεις ἐπιδεῖξαι, σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας; ἀλλ'



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

οὐδὲν οἶμαι τούτων ἔσεσθαι. Νομίζω γὰρ αὐτὸν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον ἑαυτὸν εἰς τὸν ἀγῶνα τοῦτον, πάνυ φιλονεικήσειν ὅπως περιγένηταί σου λόγῳ καὶ ἔργῳ εὖ ποιῶν. Νῦν μὲν γὰρ οὕτως, ἔφη, διάκεισθον, ὥσπερ, εἰ τὼ χεῖρε, ἃς ὁ Θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω, ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω. οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; Καὶ μὲν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ Θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε καὶ πόδε, καὶ ὀφθαλμὼ, καὶ τἄλλα, ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις· χεῖρες μὲν γὰρ, εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δ' οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ, οἱ καὶ δοκοῦντες ἐπιπλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο. Ἀδελφὼ δὲ φίλω ὄντε, καὶ πολὺ διεστῶτε, πράττετον ἅμα ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

# Ε'.

## Διάλογος τοῦ Σωκράτους μετὰ τοῦ Περικλέους Περὶ Βελτιώσεως τῶν Ἀθηνῶν.

(Ἐκ τοῦ Γ'. Βιβλ.)

Περικλεῖ δέ ποτε τῷ τοῦ πάνυ Περικλέους υἱῷ διαλεγόμενος, Ἐγώ τοι, ἔφη, ὦ Περίκλεις, ἐλπίδα ἔχω σοῦ στρατηγήσαντος ἀμείνω τε καὶ ἐνδοξοτέραν τὴν πόλιν εἰς τὰ πολεμικὰ ἔσεσθαι καὶ τῶν πολεμίων κρατήσειν. Καὶ ὁ Περικλῆς, Βουλοίμην ἂν, ἔφη, ὦ Σώκρατες, ἃ λέγεις· ὅπως δὲ ταῦτα γένοιντ' ἂν, οὐ δύναμαι γνῶναι.— Βούλει οὖν, ἔφη ὁ Σωκράτης, διαλογιζόμενοι περὶ αὐτῶν ἐπισκοπῶμεν ὅπου ἤδη τὸ δυνατόν ἐστιν;— Βούλομαι, ἔφη.—Οὐκουν οἶσθα, ἔφη, ὅτι πλήθει

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μὲν οὐδὲν μείους εἰσὶν Ἀθηναῖοι Βοιωτῶν ;— Οἶδα γάρ, ἔφη. —Σώματα δὲ ἀγαθὰ καὶ καλὰ πότερον ἐκ Βοιωτῶν οἴει πλείω ἂν ἐκλεχθῆναι ἢ ἐξ Ἀθηνῶν ; — Οὐδὲ ταύτῃ μοι δοκοῦσι λείπεσθαι. — Εὐμενεστέρους δὲ ποτέρους ἑαυτοῖς εἶναι νομίζεις; — Ἀθηναίους ἔγωγε· Βοιωτῶν μὲν γὰρ πολλοί, πλεονεκτούμενοι ὑπὸ Θηβαίων, δυσμενῶς αὐτοῖς ἔχουσιν, Ἀθήνησι δὲ οὐδὲν ὁρῶ τοιοῦτον. — Ἀλλὰ μὴν φιλοτιμότατοί γε καὶ φιλοφρονέστατοι πάντων εἰσίν· ἅπερ οὐχ ἥκιστα παροξύνει κινδυνεύειν ὑπὲρ εὐδοξίας τε καὶ πατρίδος. — Οὐδὲ ἐν τούτοις Ἀθηναῖοι μεμπτοί. — Καὶ μὴν προγόνων γε καλὰ ἔργα οὐκ ἔστιν οἷς μείζω καὶ πλείω ὑπάρχει ἢ Ἀθηναίοις, οἷς πολλοὶ ἐπαιρόμενοι, προτρέπονταί τε ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ἄλκιμοι γίγνεσθαι. — Ταῦτα μὲν ἀληθῆ λέγεις πάντα, ὦ Σώκρατες, ἀλλ' ὁρᾷς ὅτι, ἀφ' οὗ ἥτε ξὺν Τολμίδῃ τῶν χιλίων ἐν Λεβαδείᾳ ξυμφορὰ ἐγένετο καὶ ἡ μεθ' Ἱπποκράτους ἐπὶ Δηλίῳ, ἐκ τούτων τεταπείνωται μὲν ἡ τῶν Ἀθηναίων δόξα πρὸς τοὺς Βοιωτούς, ἐπῆρται δὲ τὸ τῶν Θηβαίων φρόνημα πρὸς τοὺς Ἀθηναίους· ὥστε Βοιωτοὶ μέν, οἱ πρόσθεν οὐδ' ἐν τῇ ἑαυτῶν τολμῶντες Ἀθηναίοις ἄνευ Λακεδαιμονίων τε καὶ τῶν ἄλλων Πελοποννησίων ἀντιτάττεσθαι, νῦν ἀπειλοῦσιν αὐτοὶ καθ' αὑτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν· Ἀθηναῖοι δέ, οἱ πρότερον, ὅτε Βοιωτοὶ μόνοι ἐγένοντο, πορθοῦντες τὴν Βοιωτίαν, φοβοῦνται, μὴ Βοιωτοὶ δῃώσωσι τὴν Ἀττικήν. — Καὶ ὁ Σωκράτης, Ἀλλ' αἰσθάνομαι μέν, ἔφη, ταῦτα οὕτως ἔχοντα· δοκεῖ δέ μοι ἀνδρὶ ἀγαθῷ ἄρχοντι νῦν εὐαρεστοτέρως διακεῖσθαι ἡ πόλις. Τὸ μὲν γὰρ θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτοτέρους ποιεῖ. Τεκμήραιο δ' ἂν τοῦτο καὶ ἀπὸ τῶν ἐν ταῖς ναυσίν. Ὅταν μὲν γὰρ δήπου μηδὲν φοβῶνται, μεστοί εἰσιν ἀταξίας· ἔστ' ἂν δὲ ἢ χειμῶνα ἢ πολεμίους δείσωσιν, οὐ μόνον τὰ κελευόμενα πάντα ποιοῦσιν, ἀλλὰ καὶ σιγῶσι καραδοκοῦντες τὰ προσταχθησόμενα, ὥσπερ χορευταί. — Ἀλλὰ μήν, ἔφη ὁ Περικλῆς, εἴγε νῦν μάλιστα πείθοιντο, ὥρα ἂν εἴη λέγειν, πῶς ἂν αὐτοὺς προτρεψαίμεθα πάλιν ἀνερασθῆναι τῆς ἀρχαίας ἀρετῆς τε καὶ εὐκλείας καὶ εὐδαιμονίας. — Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ μὲν ἐβουλόμεθα

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

χρημάτων αὐτούς, ὧν ἄλλοι εἶχον, ἀντιποιεῖσθαι, ἀποδεικνύντες αὐτοῖς ταῦτα πατρῷά τε ὄντα καὶ προσήκοντα, μάλιστα ἂν οὕτως αὐτοὺς ἐξορμῷμεν ἀντέχεσθαι τούτων· ἐπεὶ δὲ τοῦ μετ' ἀρετῆς πρωτεύειν αὐτοὺς ἐπιμελεῖσθαι βουλόμεθα, τοῦτ' αὖ δεικτέον ἐκ παλαιοῦ μάλιστα προσῆκον αὐτοῖς, καὶ ὡς, τούτου ἐπιμελούμενοι, πάντων ἂν εἶεν κράτιστοι. — Πῶς οὖν ἂν τοῦτο διδάσκοιμεν ; — Οἶμαι μέν, εἰ τούς γε παλαιοτάτους, ὧν ἀκούομεν, προγόνους αὐτῶν ἀναμιμνήσκοιμεν αὐτοὺς ἀκηκοότας ἀρίστους γεγονέναι. — Ἆρα λέγεις τὴν τῶν θεῶν κρίσιν, ἣν οἱ περὶ Κέκροπα δι' ἀρετὴν ἔκριναν ; — Λέγω γὰρ καὶ τὴν Ἐρεχθέως γε τροφὴν καὶ γένεσιν, καὶ τὸν πόλεμον τὸν ἐπ' ἐκείνου γενόμενον πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης, καὶ τὸν ἐφ' Ἡρακλειδῶν πρὸς τοὺς ἐν Πελοποννήσῳ καὶ πάντας τοὺς ἐπὶ Θησέως πολεμηθέντας, ἐν οἷς πᾶσιν ἐκεῖνοι δῆλοι γεγόνασι τῶν καθ' ἑαυτοὺς ἀνθρώπων ἀριστεύσαντες. Εἰ δὲ βούλει, ἃ ὕστερον οἱ ἐκείνων μὲν ἀπόγονοι, οὐ πολὺ δὲ πρὸ ἡμῶν γεγονότες, ἔπραξαν, τὰ μὲν αὐτοὶ καθ' ἑαυτοὺς ἀγωνιζόμενοι πρὸς τοὺς κυριεύοντας τῆς τε Ἀσίας πάσης καὶ τῆς Εὐρώπης μέχρι Μακεδονίας, καὶ πλείστην τῶν προγεγονότων δύναμιν καὶ ἀφορμὴν κεκτημένους, καὶ μέγιστα ἔργα κατειργασμένους, τὰ δὲ καὶ μετὰ Πελοποννησίων ἀριστεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· οἳ δὴ καὶ λέγονται πολὺ διενεγκεῖν τῶν καθ' ἑαυτοὺς ἀνθρώπων. — Λέγονται γάρ, ἔφη. — Τοιγαροῦν πολλῶν μὲν μεταναστάσεων ἐν τῇ Ἑλλάδι γεγονυιῶν, διέμειναν ἐν τῇ ἑαυτῶν· πολλοὶ δὲ ὑπὲρ δικαίων ἀντιλέγοντες ἐπέτρεπον ἐκείνοις· πολλοὶ δὲ ὑπὸ κρειττόνων ὑβριζόμενοι κατέφευγον πρὸς ἐκείνους. — Καὶ ὁ Περικλῆς, Καὶ θαυμάζω γε, ἔφη, ὦ Σώκρατες, ἡ πόλις ὅπως ποτ' ἐπὶ τὸ χεῖρον ἔκλινεν. — Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, ὥσπερ καὶ ἀθληταί τινες διὰ τὸ πολὺ ὑπερενεγκεῖν καὶ κρατιστεῦσαι καταῤῥαθυμήσαντες ὑστερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους πολὺ διενεγκόντας ἀμελῆσαι ἑαυτῶν, καὶ διὰ τοῦτο χείρους γεγονέναι. — Νῦν οὖν, ἔφη, τί ἂν ποιοῦντες ἀναλάβοιεν τὴν ἀρχαίαν ἀρετήν ; — Καὶ ὁ Σωκράτης, Οὐδὲν ἀπόκρυφον δοκεῖ μοι εἶναι· ἀλλ' εἰ μέν, ἐξευρόντες τὰ τῶν προγόνων ἐπιτηδεύματα, μηδὲν χεῖρον ἐκείνων ἐπιτηδεύοιεν,

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

οὐδὲν ἂν χείρους ἐκείνων γενέσθαι· εἰ δὲ μή, τούς γε νῦν πρωτεύοντας μιμούμενοι, καὶ τούτοις τὰ αὐτὰ ἐπιτηδεύοντες, ὁμοίως μὲν τοῖς αὐτοῖς χρώμενοι, οὐδὲν ἂν χείρους ἐκείνων εἶεν· εἰ δ' ἐπιμελέστερον, καὶ βελτίους. — Λέγεις, ἔφη, πόῤῥω που εἶναι τῇ πόλει τὴν καλοκἀγαθίαν. Πότε γὰρ οὕτως Ἀθηναῖοι, ὥσπερ Λακεδαιμόνιοι, ἢ πρεσβυτέρους αἰδέσονται; οἳ ἀπὸ τῶν πατέρων ἄρχονται καταφρονεῖν τῶν γεραιτέρων· ἢ σωμασκήσουσιν οὕτως; οἳ οὐ μόνον αὐτοὶ εὐεξίας ἀμελοῦσιν, ἀλλὰ καὶ τῶν ἐπιμελουμένων καταγελῶσι. Πότε δὲ οὕτω πείσονται τοῖς ἄρχουσιν; οἳ καὶ ἀγάλλονται ἐπὶ τῷ καταφρονεῖν τῶν ἀρχόντων· ἢ πότε οὕτως ὁμονοήσουσιν; οἵγε, ἀντὶ μὲν τοῦ ξυνεργεῖν ἑαυτοῖς τὰ ξυμφέροντα, ἐπηρεάζουσιν ἀλλήλοις, καὶ φθονοῦσιν ἑαυτοῖς μᾶλλον ἢ τοῖς ἄλλοις ἀνθρώποις, μάλιστα δὲ πάντων ἔν τε ταῖς ἰδίαις ξυνόδοις καὶ ταῖς κοιναῖς διαφέρονται, καὶ πλείστας δίκας ἀλλήλοις δικάζονται, καὶ προαιροῦνται μᾶλλον οὕτω κερδαίνειν ἀπ' ἀλλήλων ἢ ξυνωφελοῦντες αὐτούς· τοῖς δὲ κοινοῖς ὥσπερ ἀλλοτρίοις χρώμενοι, περὶ τούτων αὖ μάχονται καὶ ταῖς εἰς τὰ τοιαῦτα δυνάμεσι μάλιστα χαίρουσιν. Ἐξ ὧν πολλὴ μὲν ἀπορία καὶ κακία τῇ πόλει ἐμφύεται, πολλὴ δὲ ἔχθρα καὶ μῖσος ἀλλήλων τοῖς πολίταις ἐγγίγνεται, δι' ἃ ἔγωγε μάλα φοβοῦμαι ἀεί, μή τι μεῖζον, ἢ ὥστε φέρειν δύνασθαι, κακὸν τῇ πόλει ξυμβῇ. — Μηδαμῶς, ἔφη ὁ Σωκράτης, ὦ Περίκλεις, οὕτως ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν Ἀθηναίους. Οὐχ ὁρᾷς, ὡς εὔτακτοι μέν εἰσιν ἐν τοῖς ναυτικοῖς, εὐτάκτως δ' ἐν τοῖς γυμνικοῖς ἀγῶσι πείθονται τοῖς ἐπιστάταις, οὐδενῶν δὲ καταδεέστερον ἐν τοῖς χοροῖς ὑπηρετοῦσι τοῖς διδασκάλοις; — Τοῦτο γάρ τοι, ἔφη, καὶ θαυμαστόν ἐστι, τὸ τοὺς μὲν τοιούτους πειθαρχεῖν τοῖς ἐφεστῶσι, τοὺς δ' ὁπλίτας καὶ τοὺς ἱππεῖς, οἳ δοκοῦσι καλοκἀγαθίᾳ προκεκρίσθαι τῶν πολιτῶν, ἀπειθεστάτους εἶναι πάντων. — Καὶ ὁ Σωκράτης ἔφη, Ἡ δὲ ἐν Ἀρείῳ Πάγῳ βουλή, ὦ Περίκλεις, οὐκ ἐκ τῶν δεδοκιμασμένων καθίσταται; — Καὶ μάλα, ἔφη. — Οἶσθα οὖν τινας, ἔφη, κάλλιον ἢ νομιμώτερον ἢ σεμνότερον ἢ δικαιότερον τάς τε δίκας δικάζοντας καὶ τἆλλα πάντα πράττοντας; — Οὐ μέμφομαι, ἔφη, τούτοις. — Οὐ τοίνυν, ἔφη, δεῖ ἀθυμεῖν, ὡς οὐκ εὐτάκτων ὄντων Ἀθηναίων. — Καὶ μὴν ἔν γε τοῖς στρατιωτικοῖς, ἔφη, ἔνθα

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

μάλιστα δεῖ σωφρονεῖν τε καὶ εὐτακτεῖν καὶ πειθαρχεῖν, οὐδενὶ τούτων προσέχουσιν. — Ἴσως γάρ, ἔφη ὁ Σωκράτης, ἐν τούτοις οἱ ἥκιστα ἐπιστάμενοι ἄρχουσιν αὐτῶν. Οὐχ ὁρᾷς, κιθαριστῶν μὲν καὶ χορευτῶν καὶ ὀρχηστῶν οὐδὲ εἷς ἐπιχειρεῖ ἄρχειν μὴ ἐπιστάμενος, οὐδὲ παλαιστῶν οὐδὲ παγκρατιαστῶν; ἀλλὰ πάντες ὅσοι τούτων ἄρχουσιν, ἔχουσι δεῖξαι ὁπόθεν ἔμαθον ταῦτα, ἐφ' οἷς ἐφεστᾶσι· τῶν δὲ στρατηγῶν οἱ πλεῖστοι αὐτοσχεδιάζουσιν. Οὐ μέντοι σέ γε τοιοῦτον ἐγὼ νομίζω εἶναι, ἀλλ' οἶμαί σε οὐδὲν ἧττον ἔχειν εἰπεῖν, ὁπότε στρατηγεῖν ἢ ὁπότε παλαίειν ἤρξω μανθάνειν. Καὶ πολλὰ μὲν οἶμαί σε τῶν πατρῴων στρατηγημάτων παρειληφότα διασώζειν, πολλὰ δὲ πανταχόθεν ξυνενηνοχέναι, ὁπόθεν οἷόν τε ἦν μαθεῖν τι ὠφέλιμον εἰς στρατηγίαν. Οἶμαι δέ σε πολλὰ μεριμνᾷν, ὅπως μὴ λάθῃς σεαυτὸν ἀγνοῶν τι τῶν εἰς στρατηγίαν ὠφελίμων· καὶ ἐάν τι τοιοῦτον αἴσθῃ σεαυτὸν μὴ εἰδότα, ζητεῖν τοὺς ἐπισταμένους ταῦτα, οὔτε δώρων, οὔτε χαρίτων φειδόμενον, ὅπως μάθῃς παρ' αὐτῶν ἃ μὴ ἐπίστασαι, καὶ ξυνεργοὺς ἀγαθοὺς ἔχῃς. — Καὶ ὁ Περικλῆς, Οὐ λανθάνεις με, ὦ Σώκρατες, ἔφη, ὅτι οὐδ' οἰόμενός με τούτων ἐπιμελεῖσθαι ταῦτα λέγεις, ἀλλ' ἐγχειρῶν με διδάσκειν ὅτι τὸν μέλλοντα στρατηγεῖν τούτων ἁπάντων ἐπιμελεῖσθαι δεῖ. Ὁμολογῶ μέντοι κἀγώ σοι ταῦτα. — Τοῦτο δ', ἔφη, ὦ Περίκλεις, κατανενόηκας, ὅτι πρόκειται τῆς χώρας ἡμῶν ὄρη μεγάλα, καθήκοντα ἐπὶ τὴν Βοιωτίαν, δι' ὧν εἰς τὴν χώραν εἴσοδοι στεναί τε καὶ προσάντεις εἰσί, καὶ ὅτι μέση διέζωσται ὄρεσιν ἐρυμνοῖς; — Καὶ μάλα, ἔφη. — Τί δέ; σὺ ἐκεῖνο ἀκήκοας, ὅτι Μυσοὶ καὶ Πισίδαι ἐν τῇ βασιλέως χώρᾳ κατέχοντες ἐρυμνὰ πάνυ χωρία καὶ κούφως ὡπλισμένοι, δύνανται πολλὰ μὲν τὴν βασιλέως χώραν καταθέοντες κακοποιεῖν, αὐτοὶ δὲ ζῆν ἐλεύθεροι; — Καὶ τοῦτό γε, ἔφη, ἀκούω. — Ἀθηναίους δ' οὐκ ἂν οἴει, ἔφη, μέχρι τῆς ἐλαφρᾶς ἡλικίας ὡπλισμένους κουφοτέροις ὅπλοις, καὶ τὰ προκείμενα τῆς χώρας ὄρη κατέχοντας, βλαβεροὺς μὲν τοῖς πολεμίοις εἶναι, μεγάλην δὲ προβολὴν τοῖς πολίταις τῆς χώρας κατεσκευάσθαι; — Καὶ ὁ Περικλῆς, Πάντ', οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ταῦτα χρήσιμα εἶναι. — Εἰ τοίνυν, ἔφη ὁ Σωκράτης, ἀρέσκει σοι ταῦτα, ἐπιχείρει αὐτοῖς ὦ ἄριστε· ὅ,τι μὲν γὰρ ἂν τούτων κα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ταπράξῃς, καὶ σοὶ καλὸν ἔσται καὶ τῇ πόλει ἀγαθόν· ἐὰν δὲ ἀδυνατῇς, οὔτε τὴν πόλιν βλάψεις, οὔτε σαυτὸν καταισχυνεῖς.

# ΣΤ΄.

## Διάλογος τοῦ Σωκράτους μετὰ τοῦ Γλαύκωνος.

[ Ἐκ τοῦ Γ΄. Βιβλ.]

Γλαύκωνα δὲ τὸν Ἀρίστωνος, ὅτ᾽ ἐπεχείρει δημηγορεῖν, ἐπιθυμῶν προστατεύειν τῆς πόλεως, οὐδέπω εἴκοσιν ἔτι γεγονὼς, ὃν τῶν ἄλλων οἰκείων τε καὶ φίλων οὐδεὶς ἠδύνατο παῦσαι ἑλκόμενόν τε ἀπὸ τοῦ βήματος καὶ καταγέλαστον ὄντα· Σωκράτης δὲ, εὔνους ὢν αὐτῷ διά τε Χαρμίδην τὸν Γλαύκωνος καὶ διὰ Πλάτωνα, μόνος ἔπαυσεν. Ἐντυχὼν γὰρ αὐτῷ, πρῶτον μὲν εἰς τὸ ἐθελῆσαι ἀκούειν τοιάδε λέξας κατέσχεν·Ὦ Γλαύκων, ἔφη, προστατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως;—Ἔγωγ᾽ ἔφη, ὦ Σώκρατες.—Νὴ Δί᾽, ἔφη· καλὸν γὰρ εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. Δῆλον γὰρ ὅτι, ἐὰν τοῦτο διαπράξῃ, δυνατὸς μὲν ἔσῃ αὐτὸς τυγχάνειν ὅτου ἂν ἐπιθυμῇς, ἱκανὸς δὲ τοὺς φίλους ὠφελεῖν, ἐπαρεῖς δὲ τὸν πατρῷον οἶκον, αὐξήσεις δὲ τὴν πατρίδα, ὀνομαστὸς δ᾽ ἔσῃ, πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δ᾽ ἐν τῇ Ἑλλάδι, ἴσως δὲ ὥσπερ Θεμιστοκλῆς καὶ ἐν τοῖς βαρβάροις· ὅπου δ᾽ ἂν ᾖς, πανταχοῦ περίβλεπτος ἔσῃ. Ταῦτ᾽ οὖν ἀκούων ὁ Γλαύκων ἐμεγαλύνετο, καὶ ἡδέως παρέμενε. Μετὰ δὲ ταῦτα ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, τοῦτο μὲν, ὦ Γλαύκων δῆλον, ὅτι, εἴπερ τιμᾶσθαι βούλει ὠφελητέα σοι ἡ πόλις ἐστί,;—Πάνυ μὲν οὖν, ἔφη.— Πρὸς θεῶν, ἔφη, μὴ τοίνυν ἀποκρύψῃ, ἀλλ᾽ εἰπὲ ἡμῖν ἐκ τίνος ἄρξῃ τὴν πόλιν εὐεργετεῖν; Ἐπεὶ δὲ ὁ Γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν, ὁπόθεν ἄρχοιτο.—Ἆρ᾽, ἔφη ὁ Σωκράτης, ὥσπερ φίλου οἶκον εἰ αὐξῆσαι βούλοιο, πλουσιώτερον αὐτὸν ἐπιχειροίης ἂν ποιεῖν, οὕτω καὶ τὴν πόλιν πειράσῃ πλουσιωτέραν ποιῆσαι;—Πάνυ, μὲν οὖν, ἔφη.—Οὐκοῦν πλουσιωτέρα γ᾽ ἂν εἴη προσόδων

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

αὐτῇ πλειόνων γενομένων; — Εἰκὸς γοῦν, ἔφη. — Λέξον δή, ἔφη, ἐκ τίνων νῦν αἱ πρόσοδοι τῇ πόλει καὶ πόσαι τινές εἰσι; δῆλον γὰρ ὅτι ἔσκεψαι, ἵνα, εἰ μέν τινες αὐτῶν ἐνδεῶς ἔχουσιν, ἐκπληρώσῃς· εἰ δὲ παραλείπονται, προσπορίσῃς. — Ἀλλὰ μὰ Δί', ἔφη ὁ Γλαύκων, ταῦτά γε οὐκ ἐπέσκεμμαι. — Ἀλλ' εἰ τοῦτο, ἔφη, παρέλιπες, τάς γε δαπάνας τῆς πόλεως ἡμῖν εἰπέ· δῆλον γὰρ ὅτι καὶ τούτων τὰς περιττὰς ἀφαιρεῖν διανοῇ. — Ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα. — Οὐκοῦν, ἔφη, τὸ μὲν πλουσιωτέραν τὴν πόλιν ποιεῖν ἀναβαλούμεθα· πῶς γὰρ οἷόν τε μὴ εἰδότα γε τὰ ἀναλώματα καὶ τὰς προσόδους ἐπιμεληθῆναι τούτων; — Ἀλλ' ὦ Σώκρατες, ἔφη ὁ Γλαύκων, δυνατόν ἐστι καὶ ἀπὸ πολεμίων τὴν πόλιν πλουτίζειν. — Νὴ Δία σφόδρα γ' ἔφη ὁ Σωκράτης, ἐάν τις αὐτῶν κρείττων ᾖ, ἥττων δὲ ὢν καὶ τὰ οἰκεῖα προσαποβάλοι ἄν. — Ἀληθῆ λέγεις, ἔφη. — Οὐκοῦν, ἔφη, τόν γε βουλευσόμενον πρὸς οὕς τινας δεῖ πολεμεῖν τήν τε τῆς πόλεως δύναμιν καὶ τὴν τῶν ἐναντίων εἰδέναι δεῖ, ἵνα, ἐὰν μὲν ἡ τῆς πόλεως κρείττων ᾖ, συμβουλεύῃ ἐπιχειρεῖν τῷ πολέμῳ· ἐὰν δὲ ἥττων τῆς τῶν ἐναντίων, εὐλαβεῖσθαι πείθῃ. — Ὀρθῶς λέγεις, ἔφη. — Πρῶτον μὲν τοίνυν, ἔφη, λέξον ἡμῖν τῆς πόλεως τήν τε πεζικὴν καὶ τὴν ναυτικὴν δύναμιν, εἶτα τὴν τῶν ἐναντίων. — Ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. — Ἀλλ' εἰ γέγραπταί σοι, ἔνεγκε, ἔφη· πάνυ γὰρ ἡδέως ἂν τοῦτο ἀκούσαιμι. — Ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ γέγραπταί μοι πω. — Οὐκοῦν, ἔφη, καὶ περὶ πολέμου συμβουλεύειν τήν γε πρώτην ἐπισχήσομεν· ἴσως γὰρ καὶ διὰ τὸ μέγεθος αὐτῶν ἄρτι ἀρχόμενος τῆς προστατείας οὔπω ἐξήτακας. Ἀλλά τοι περί γε φυλακῆς τῆς χώρας οἶδ' ὅτι σοι μεμέληκε, καὶ οἶσθα, ὁπόσαι τε φυλακαὶ ἐπίκαιροί εἰσι καὶ ὁπόσαι μή, καὶ ὁπόσοι τε φρουροὶ ἱκανοί εἰσι καὶ ὁπόσοι μή εἰσι· καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς συμβουλεύσεις μείζονας ποιεῖν, τὰς δὲ περιττὰς ἀφαιρεῖν. — Νὴ Δί', ἔφη ὁ Γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε, ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι ὥστε κλέπτεσθαι τὰ ἐκ τῆς χώρας. — Ἐὰν δέ τις ἀφέλῃ γ', ἔφη, τὰς φυλακάς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι τῷ βουλομένῳ; ἀτάρ, ἔφη, πότερον ἐλθὼν αὐτὸς ἐξή-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τακας τοῦτο, ἢ πῶς οἶσθα ὅτι κακῶς φυλάττονται;—Εἰκάζω, ἔφη.— Οὐκοῦν, ἔφη, καὶ περὶ τούτων, ὅταν μηκέτι εἰκάζωμεν, ἀλλ' ἤδη εἰδῶμεν, τότε συμβουλεύσομεν;—Ἴσως, ἔφη ὁ Γλαύκων, βέλτιον.— Εἴς γε μὴν, ἔφη, τἀργύρια οἶδ' ὅτι οὐκ ἀφῖξαι, ὥςτ' ἔχειν εἰπεῖν, διότι νῦν ἐλάττω ἢ πρόσθεν προσέρχεται αὐτόθεν. – Οὐ γὰρ οὖν ἐλήλυθα, ἔφη. – Καὶ γὰρ, νὴ Δί', ἔφη ὁ Σωκράτης, λέγεται βαρὺ τὸ χωρίον εἶναι· ὥστε ὅταν περὶ τούτου δέῃ ξυμβουλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει.— Σκέψομαι, ἔφη ὁ Γλαύκων.—'Αλλ' ἐκείνου γέ τοι, ἔφη, οἶδ' ὅτι οὐκ ἠμέληκας, ἀλλ' ἔσκεψαι, πόσον χρόνον ἱκανός ἐστιν ὁ ἐκ τῆς χώρας γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσου εἰς τον ἐνιαυτὸν προσδέεται, ἵνα μὴ τούτου λάθῃ σέ ποτε ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ' εἰδὼς ἔχῃς ὑπὲρ τῶν ἀναγκαίων ξυμβουλεύων τῇ πόλει βοηθεῖν τε καὶ σώζειν αὐτήν.—Λέγεις, ἔφη ὁ Γλαύκων, παμμέγεθες πρᾶγμα, εἴγε καὶ τῶν τοιούτων ἐπιμελεῖσθαι δεήσει. —'Αλλὰ μέντοι, ἔφη ὁ Σωκράτης, οὐδ' ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται ὧν προσδέεται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει.; 'Αλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν ξυνέστηκε, χαλεπὸν δέ ἐστιν ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι, πῶς ουχ ἕνα, τὸν τοῦ θείου, πρῶτον ἐπειράθης αὐξῆσαι; δεῖται δέ. Κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείοσιν ἐπιχειρήσεις· ἕνα δὲ μὴ δυνάμενος ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; ὥσπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν, ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ; —'Αλλ' ἔγωγε, ἔφη ὁ Γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ θείου οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι.—Εἶτα, ἔφη ὁ Σωκράτης, τὸν θεῖον οὐ δυνάμενος πείθειν, 'Αθηναίους πάντας μετὰ τοῦ θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι; Φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μὴ, τοῦ εὐδοξεῖν ἐπιθυμῶν, εἰς τοὐναντίον ἔλθῃς. Ἢ οὐχ ὁρᾷς, ὡς σφαλερόν ἐστι τὸ, ἃ μὴ οἶδέ τις, ταῦτα λέγειν ἢ πράττειν; Ἐνθυμοῦ δὲ τῶν ἄλλων, ὅσους οἶσθα τοιούτους, οἷοι φαίνονται καὶ λέγοντες ἃ μὴ ἴσασι καὶ πράττοντες. Πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν; καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖ-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

σθαι; Ἐνθυμοῦ δὲ καὶ τῶν εἰδότων, ὅ,τι τε λέγουσι καὶ ὅ,τε ποιοῦσι· καὶ ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους ἐκ τῶν ἀμαθεστάτων. Εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι ἃ βούλει πράττειν· ἐὰν γὰρ τούτῳ διενεγκὼν τῶν ἄλλων ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι εἰ πάνυ ῥᾳδίως τύχοις ὧν ἐπιθυμεῖς.

# ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ.

## Α΄.

### Τὰ περὶ τῆς γενέσεως τῶν Θεῶν.

(Ἐκ τοῦ Γ΄. Βιβλ.)

– – – 56 Ἡμεῖς δ' ἐπεὶ περὶ τῶν Ἀτλαντείων ἐμνήσθημεν, οὐκ ἀνοίκειον ἡγούμεθα διελθεῖν τὰ μυθολογούμενα παρ' αὐτοῖς περὶ τῆς τῶν θεῶν γενέσεως, διὰ τὸ μὴ πολὺ διαλλάττειν αὐτὰ τῶν μυθολογουμένων παρ' Ἕλλησιν. Οἱ τοίνυν Ἀτλάντειοι τοὺς παρὰ τὸν ὠκεανὸν τόπους κατοικοῦντες, καὶ χώραν εὐδαίμονα νεμόμενοι, πολλῇ μὲν εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ τῇ πρὸς τοὺς ξένους δοκοῦσι διαφέρειν τῶν πλησιοχώρων, τὴν δὲ γένεσιν τῶν θεῶν παρ' αὐτοῖς γενέσθαι φασί. Συμφωνεῖν δὲ τοῖς λεγομένοις ὑπ' αὐτῶν καὶ τὸν ἐπιφανέστατον τῶν παρ' Ἕλλησι ποιητῶν, ἐν οἷς παρεισάγει τὴν Ἥραν λέγουσαν·

Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.

Μυθολογοῦσι δὲ πρῶτον παρ' αὐτοῖς Οὐρανὸν βασιλεῦσαι, καὶ τοὺς ἀνθρώπους σποράδην οἰκοῦντας συναγαγεῖν εἰς πόλεως περίβολον, καὶ τῆς μὲν ἀνομίας καὶ τοῦ θηριώδους

Παπαχαραλάμπειος Δημόσια Κεντρική
Βιβλιοθήκη Ναυπάκτου

βίου παῦσαι τοὺς ὑπακούσαντας, εὑρόντα τὰς τῶν ἡμέρων καρπῶν χρείας καὶ παραθέσεις, καὶ τῶν ἄλλων χρησίμων οὐκ ὀλίγα· κατακτήσασθαι δ' αὐτὸν καὶ τῆς οἰκουμένης τὴν πλείστην, καὶ μάλιστα τοὺς πρὸς τὴν ἑσπέραν καὶ τὴν ἄρκτον τόπους. Τῶν δὲ ἄστρων γενόμενον ἐπιμελῆ παρατηρητὴν, πολλὰ προλέγειν τῶν κατὰ τὸν κόσμον μελλόντων γίνεσθαι. Εἰσηγήσασθαι δὲ τοῖς ὄχλοις τὸν μὲν ἐνιαυτὸν ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως, τοὺς δὲ μῆνας ἀπὸ τῆς σελήνης, καὶ τὰς κατ' ἔτος ἕκαστον ὥρας διδάξαι. Διὸ καὶ τοὺς μὲν πολλοὺς, ἀγνοοῦντας τὴν τῶν ἄστρων αἰώνιον τάξιν, θαυμάζοντας δὲ τὰ γινόμενα κατὰ τὰς προῤῥήσεις, ὑπολαβεῖν τὸν τούτων εἰσηγητὴν θείας μετέχειν φύσεως. Μετὰ δὲ τὴν ἐξ ἀνθρώπων αὐτοῦ μετάστασιν, διά τε τὰς εὐεργεσίας καὶ τὴν τῶν ἄστρων ἐπίγνωσιν, ἀθανάτους τιμὰς ἀπονεῖμαι· μεταγαγεῖν δ' αὐτοῦ τὴν προσηγορίαν ἐπὶ τὸν κόσμον, ἅμα μὲν τῷ δοκεῖν οἰκείως ἐσχηκέναι πρὸς τὰς τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσεις, καὶ τἆλλα τὰ γινόμενα περὶ τὸν κόσμον· ἅμα δὲ τῷ μεγέθει τῶν τιμῶν ὑπερβάλλειν τὰς εὐεργεσίας, καὶ πρὸς τὸν αἰῶνα βασιλέα τῶν ὅλων αὐτὸν ἀναγορεύσαντας.

57. Οὐρανοῦ δὲ μυθολογοῦσι γενέσθαι παῖδας ἐκ πλειόνων γυναικῶν πέντε πρὸς τοῖς τεσσαράκοντα· καὶ τούτων ὀκτὼ καὶ δέκα λέγουσιν ὑπάρχειν ἐκ Τιταίας, ὄνομα μὲν ἴδιον ἔχοντας ἑκάστους, κοινῇ δὲ πάντας ἀπὸ τῆς μητρὸς ὀνομαζομένους Τιτᾶνας. Τὴν δὲ Τιταίαν, σώφρονα οὖσαν καὶ πολλῶν ἀγαθῶν αἰτίαν γενομένην τοῖς ἄλλοις, ἀποθεωθῆναι μετὰ τὴν τελευτὴν ὑπὸ τῶν εὖ παθόντων, Γῆν μετονομασθεῖσαν. Γενέσθαι δ' αὐτῷ καὶ θυγατέρας, ὧν εἶναι δύο τὰς πρεσβυτάτας πολὺ τῶν ἄλλων ἐπιφανεστάτας, τὴν καλουμένην Βασίλειαν, καὶ Ῥέαν, τὴν ὑπ' ἐνίων Πανδώραν μετονομασθεῖσαν. Τούτων δὲ τὴν μὲν Βασίλειαν, πρεσβυτάτην οὖσαν, καὶ σωφροσύνῃ τε καὶ συνέσει πολὺ τῶν ἄλλων διαφέρουσαν, ἐκθρέψαι πάντας τοὺς ἀδελφοὺς, κοινῇ μητρὸς εὔνοιαν παρεχομένην· διὸ καὶ Μεγάλην Μητέρα προσαγορευθῆναι. Μετὰ δὲ τὴν τοῦ πατρὸς ἐξ ἀνθρώπων εἰς θεοὺς μετάστασιν, συγχωρούντων τῶν ὄχλων καὶ τῶν ἀδελφῶν, διαδέξασθαι τὴν βασιλείαν, παρθένον οὖσαν, ἔτι δὲ καὶ

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

διὰ τὴν ὑπερβολὴν τῆς σωφροσύνης οὐθενὶ συνοικῆσαι βουληθεῖσαν. Ὕστερον δὲ βουλομένην διαδόχους τῆς βασιλείας ἀπολιπεῖν υἱούς, Ὑπερίονι συνοικῆσαι τῶν ἀδελφῶν ἑνί, πρὸς ὃν οἰκειότατα διέκειτο. Γενομένων δ' αὐτῇ δύο τέκνων Ἡλίου καὶ Σελήνης, καὶ θαυμαζομένων ἐπὶ τῷ κάλλει καὶ τῇ σωφροσύνῃ, φασὶ τοὺς ἀδελφοὺς ταύτῃ μὲν ἐπὶ εὐτεκνίᾳ φθονοῦντας, τὸν δ' Ὑπερίονα φοβηθέντας, μή ποτε τὴν βασιλείαν εἰς αὐτὸν περισπάσῃ πρᾶξιν ἐπιτελέσασθαι παντελῶς ἀνόσιον. Συνωμοσίαν γὰρ ποιησαμένους, τὸν μὲν Ὑπερίονα κατασφάξαι, τὸν δ' Ἥλιον, ὄντα παῖδα τὴν ἡλικίαν, εἰς τὸν Ἠριδανὸν ποταμὸν ἐμβαλόντας ἀποπνίξαι. Καταφανοῦς δὲ γενομένης τῆς ἀτυχίας, τὴν μὲν Σελήνην, φιλάδελφον οὖσαν καθ' ὑπερβολήν, ἀπὸ τοῦ τέγους ἑαυτὴν ῥίψαι· τὴν δὲ μητέρα, ζητοῦσαν τὸ σῶμα παρὰ τὸν ποταμόν, σύγκοπον γενέσθαι, καὶ κατενεχθεῖσαν εἰς ὕπνον, ἰδεῖν ὄψιν, καθ' ἣν ἔδοξεν ἐπιστάντα τὸν Ἥλιον παρακαλεῖν αὐτὴν μὴ θρηνεῖν τὸν τῶν τέκνων θάνατον· τοὺς μὲν γὰρ Τιτᾶνας τεύξεσθαι τῆς προσηκούσης τιμωρίας, ἑαυτὸν δὲ καὶ τὴν ἀδελφὴν εἰς ἀθανάτους φύσεις μετασχηματισθήσεσθαι θείᾳ τινὶ προνοίᾳ· ὀνομασθήσεσθαι γὰρ ὑπὸ τῶν ἀνθρώπων ἥλιον μὲν τὸ πρότερον ἐν οὐρανῷ πῦρ ἱερὸν καλούμενον, σελήνην δὲ τὴν μήνην προσαγορευομένην. Διεγερθεῖσαν δέ, τοῖς ὄχλοις τόν τε ὄνειρον καὶ τὰ περὶ αὐτὴν ἀτυχήματα διελθοῦσαν, ἀξιῶσαι τοῖς μὲν τετελευτηκόσιν ἀπονεῖμαι τιμὰς ἰσοθέους, τοῦ δὲ αὐτῆς σώματος μηκέτι μηδένα θίγειν. Μετὰ δὲ ταῦτα ἔμμανῆ γενομένην, καὶ τῶν τῆς θυγατρὸς παιγνίων τὰ δυνάμενα ψόφον ἐπιτελεῖν ἁρπάσασαν, πλανᾶσθαι κατὰ τὴν χώραν, καταλελυμένην μὲν τὰς τρίχας, τῷ δὲ διὰ τῶν τυμπάνων καὶ κυμβάλων ψόφῳ ἐνθεάζουσαν, ὥστε καταπλήττεσθαι τοὺς ὁρῶντας. Πάντων δὲ τὸ περὶ αὐτὴν πάθος ἐλεούντων, καί τινων ἀντεχομένων τοῦ σώματος, ἐπιγενέσθαι πλῆθος ὄμβρου καὶ συνεχεῖς κεραυνῶν πτώσεις· ἐνταῦθα δὲ τὴν μὲν Βασίλειαν ἀφανῆ γενέσθαι, τοὺς δ' ὄχλους θαυμάσαντας τὴν περιπέτειαν, τὸν μὲν Ἥλιον καὶ τὴν Σελήνην τῇ προσηγορίᾳ καὶ ταῖς τιμαῖς μεταγαγεῖν ἐπὶ τὰ κατ' οὐρανὸν ἄστρα, τὴν δὲ μητέρα τούτων θεόν τε νομίσαι καὶ βωμοὺς ἱδρύσασθαι, καὶ ταῖς διὰ τῶν τυμπάνων καὶ κυμ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

βάλων ἐνεργείαις, καὶ τοῖς ἄλλοις ἅπασιν ἀπομιμουμένους τὰ περὶ αὐτὴν συμβάντα, θυσίας καὶ τὰς ἄλλας τιμὰς ἀπονεῖμαι.

60 Μετὰ δὲ τὴν Ὑπερίονος τελευτὴν μυθολογοῦσι τοὺς υἱοὺς τοῦ Οὐρανοῦ διελέσθαι τὴν βασιλείαν, ὧν ὑπάρχειν ἐπιφανεστάτους Ἄτλαντα καὶ Κρόνον. Τούτων δὲ τὸν μὲν Ἄτλαντα λαχεῖν τοὺς παρὰ τὸν ὠκεανὸν τόπους, καὶ τούς τε λαοὺς Ἀτλαντείους ὀνομάσαι, καὶ τὸ μέγιστον τῶν κατὰ τὴν χώραν ὀρῶν ὁμοίως Ἄτλαντα προσαγορεῦσαι. Φασὶ δ' αὐτὸν τὰ περὶ τὴν ἀστρολογίαν ἐξακριβῶσαι, καὶ τὸν σφαιρικὸν λόγον εἰς ἀνθρώπους πρῶτον ἐξενεγκεῖν· ἀφ' ἧς αἰτίας δόξαι τὸν σύμπαντα κόσμον ἐπὶ τῶν Ἄτλαντος ὤμων ὀχεῖσθαι, τοῦ μύθου τὴν τῆς σφαίρας εὕρεσιν καὶ διαγραφὴν αἰνιττομένου. Γενέσθαι δ' αὐτῷ πλείους υἱούς, ὧν ἕνα διενεγκεῖν εὐσεβείᾳ καὶ τῇ πρὸς τοὺς ἀρχομένους δικαιοσύνῃ καὶ φιλανθρωπίᾳ, τὸν προσαγορευόμενον Ἕσπερον. Τοῦτον δ' ἐπὶ τὴν κορυφὴν τοῦ Ἄτλαντος ὄρους ἀναβαίνοντα, καὶ τὰς τῶν ἄστρων παρατηρήσεις ποιούμενον, ἐξαίφνης ὑπὸ πνευμάτων συναρπαγέντα μεγάλων ἄφαντον γενέσθαι. Διὰ δὲ τὴν ἀρετὴν αὐτοῦ τὸ πάθος τὰ πλήθη ἐλεήσαντα, τιμὰς ἀθανάτους ἀπονεῖμαι, καὶ τὸν ἐπιφανέστατον τῶν κατὰ τὸν οὐρανὸν ἀστέρων ὁμωνύμως ἐκείνῳ προσαγορεῦσαι. Ὑπάρξαι δ' Ἄτλαντι καὶ θυγατέρας ἑπτά, τὰς κοινῶς μὲν ἀπὸ τοῦ πατρὸς καλουμένας Ἀτλαντίδας, ἰδίᾳ δ' ἑκάστην ὀνομαζομένην, Μαῖαν, Ἠλέκτραν, Ταϋγέτην, Ἀστεροπὴν, Μερόπην, Ἀλκυόνην, καὶ τελευταίαν Κελαινώ. Ταύτας δὲ μιγείσας τοῖς ἐπιφανεστάτοις ἥρωσι καὶ θεοῖς, ἀρχηγοὺς καταστῆναι τοῦ πλείστου γένους τῶν ἀνθρώπων, τεκούσας τοὺς δι' ἀρετὴν θεοὺς καὶ ἥρωας ὀνομασθέντας· οἷον, τὴν πρεσβυτάτην Μαῖαν Διῒ μιγεῖσαν Ἑρμῆν τεκνῶσαι, πολλῶν εὑρετὴν γενόμενον τοῖς ἀνθρώποις· παραπλησίως δὲ καὶ τὰς ἄλλας Ἀτλαντίδας γεννῆσαι παῖδας ἐπιφανεῖς ὧν τοὺς μὲν ἐθνῶν, τοὺς δὲ πόλεων γενέσθαι κτίστας. Διόπερ οὐ μόνον παρ' ἐνίοις τῶν βαρβάρων, ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησι τοὺς πλείστους τῶν ἀρχαιοτάτων ἡρώων εἰς ταύτας ἀναφέρειν τὸ γένος. Ὑπάρξαι δ' αὐτὰς καὶ σώφρονας διαφερόντως, καὶ μετὰ τὴν τελευτὴν τυχεῖν ἀθανάτου τιμῆς παρ' ἀνθρώποις, καὶ καθιδρυνθείσας

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

ἐν τῷ κόσμῳ καὶ τῇ τῶν Πλειάδων προσηγορίᾳ περιληφθεῖσαι. Ἐκλήθησαν δὲ αἱ Ἀτλαντίδες καὶ Νύμφαι, διὰ τὸ τοὺς ἐγχωρίους κοινῇ τὰς γυναῖκας νύμφας προσαγορεύειν.

61. Κρόνον δὲ μυθολογοῦσιν, ἀδελφὸν μὲν Ἄτλαντος ὄντα, διαφέροντα δ' ἀσεβείᾳ καὶ πλεονεξίᾳ, γῆμαι τὴν ἀδελφὴν Ῥέαν, ἐξ ἧς γεννῆσαι Δία, τὸν Ὀλύμπιον ὕστερον ἐπικληθέντα. — — — Δυναστεῦσαι δέ φασι τὸν Κρόνον κατὰ Σικελίαν, καὶ Λιβύην, ἔτι δὲ τὴν Ἰταλίαν, καὶ τὸ σύνολον ἐν τοῖς πρὸς ἑσπέραν τόποις συστήσασθαι τὴν βασιλείαν· παρὰ πᾶσι δὲ φρουραῖς διακατέχειν τὰς ἀκροπόλεις, καὶ τοὺς ὀχυροὺς τῶν τόπων τούτων· ἀφ' οὗ δὴ μέχρι τοῦ νῦν (χρόνου) κατά τε τὴν Σικελίαν καὶ τὰ πρὸς ἑσπέραν νεύοντα μέρη πολλοὺς τῶν ὑψηλῶν τόπων ἀπ' ἐκείνου Κρόνια προσαγορεύεσθαι. Κρόνου δὲ γενόμενον υἱὸν Δία τὸν ἐναντίον τῷ πατρὶ βίον ζηλῶσαι, καὶ παρεχόμενον ἑαυτὸν πᾶσιν ἐπιεικῆ καὶ φιλάνθρωπον, ὑπὸ τοῦ πλήθους πατέρα προσαγορευθῆναι. Διαδέξασθαι δ' αὐτόν φασι τὴν βασιλείαν, οἱ μὲν ἑκόντος τοῦ πατρὸς παραχωρήσαντος, οἱ δ' ὑπὸ τῶν ὄχλων αἱρεθέντα, διὰ τὸ μῖσος τὸ πρὸς τὸν πατέρα· ἐπιστρατεύσαντος δ' ἐπ' αὐτὸν τοῦ Κρόνου μετὰ τῶν Τιτάνων, κρατῆσαι τῇ μάχῃ τὸν Δία, καὶ κύριον γενόμενον τῶν ὅλων, ἐπελθεῖν ἅπασαν τὴν οἰκουμένην, εὐεργετοῦντα τὸ γένος τῶν ἀνθρώπων. Διενεγκεῖν δ' αὐτὸν καὶ σώματος ῥώμῃ καὶ ταῖς ἄλλαις ἁπάσαις ἀρεταῖς, καὶ διὰ τοῦτο ταχὺ κύριον γενέσθαι τοῦ σύμπαντος κόσμου. Καθόλου δ' αὐτὸν τὴν ἅπασαν σπουδὴν ἔχειν εἰς κόλασιν μὲν τῶν ἀσεβῶν καὶ πονηρῶν, εὐεργεσίαν δὲ τῶν ὄχλων. Ἀνθ' ὧν μετὰ τὴν ἐξ ἀνθρώπων μετάστασιν ὀνομασθῆναι μὲν Ζῆνα, διὰ τὸ δοκεῖν τοῦ καλῶς ζῆν αἴτιον γενέσθαι τοῖς ἀνθρώποις, καθιδρυνθῆναι δ' ἐν τῷ κόσμῳ τῇ τῶν εὖ παθόντων τιμῇ, πάντων προθύμως ἀναγορευόντων θεὸν καὶ κύριον εἰς τὸν αἰῶνα τοῦ σύμπαντος κόσμου. Τῶν μὲν οὖν παρὰ τοῖς Ἀτλαντείοις θεολογουμένων τὰ κεφάλαια ταῦτ' ἐστίν.

[Ἐκ τοῦ Ε'. Βιβλ.]

68. Κρόνου δὲ καὶ Ῥέας λέγεται γενέσθαι τήν τε Ἑστίαν καὶ Δήμητρα καὶ Ἥραν· ἔτι δὲ Δία καὶ Ποσειδῶνα καὶ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

"Αιδην. Τούτων δὲ λέγεται τὴν μὲν Ἑστίαν τὴν τῶν οἰκιῶν κατασκευὴν εὑρεῖν, καὶ διὰ τὴν εὐεργεσίαν ταύτην παρ' πᾶσι σχεδὸν ἀνθρώποις ἐν πάσαις οἰκίαις καθιδρυθῆναι τιμῶν καὶ θυσιῶν τυγχάνουσαν· Δήμητρα δὲ, τοῦ σίτου φυομένου μὲν ὡς ἔτυχε μετὰ τῆς ἄλλης βοτάνης, ἀγνοουμένου δὲ παρ' ἀνθρώποις, πρώτην συγκομίσαι, καὶ τὴν κατεργασίαν αὐτοῦ καὶ φυλακὴν ἐπινοῆσαι, καὶ σπείρειν καταδεῖξαι. Εὑρεῖν μὲν οὖν αὐτὴν τὸν σῖτον πρὸ τοῦ γεννῆσαι τὴν θυγατέρα Περσεφόνην· μετὰ δὲ τὴν ταύτης γένεσιν καὶ τὴν ὑπὸ τοῦ Πλούτωνος ἁρπαγὴν, ἐμπρῆσαι πάντα τὸν καρπὸν, διά τε τὴν ἔχθραν τὴν πρὸς τὸν Δία, καὶ τὴν ἐπὶ τῇ θυγατρὶ λύπην. Μετὰ δὲ τὴν εὕρεσιν τῆς Περσεφόνης διαλλαγῆναί τε τῷ Διΐ, καὶ τῷ Τριπολέμῳ ἀποδοῦναι τὸν τοῦ σίτου σπόρον, ᾧ συντάξαι πᾶσιν ἀνθρώποις μεταδοῦναί τε τῆς δωρεᾶς, καὶ τὰ περὶ τὴν ἐργασίαν τοῦ σπόρου διδάξαι. Λέγουσι δέ τινες ὅτι καὶ νόμους εἰσηγήσατο, καθ' οὓς ἀλλήλοις τὸ δίκαιον διδόναι συνειθίσθησαν ἄνθρωποι, καὶ τὴν παραδοῦσαν αὐτοῖς θεὰν ἀπὸ τούτων θεσμοφόρον προσηγόρευσαν. Μεγίστων γὰρ ἀνθρώποις ἀγαθῶν αἰτίαν γενομένην, ἐπιφανεστάτων τυχεῖν τιμῶν καὶ θυσιῶν, ἔτι δ' ἑορτῶν καὶ πανηγύρεων μεγαλοπρεπεστάτων, οὐ παρ' Ἕλλησι μόνον, ἀλλὰ καὶ παρὰ πᾶσι σχεδὸν τοῖς βαρβάροις, ὅσοι τῆς τροφῆς ταύτης ἐκοινώνησαν. . . . . . .

— Τῶν δ' ἄλλων θεῶν τῶν ἐκ Κρόνου καὶ Ῥίας γενομένων φασὶν οἱ Κρῆτες, Ποσειδῶνα μὲν πρῶτον χρήσασθαι ταῖς κατὰ θάλασσαν ἐργασίαις, καὶ στόλους συστήσασθαι, παραδόντος αὐτῷ τὴν ἡγεμονίαν ταύτην τοῦ Κρόνου. Διὸ καὶ παραδίδοσθαι τοῖς ἐπιγινομένοις τοῦτον κύριον ὑπάρχειν τῶν κατὰ θάλασσαν πραττομένων, καὶ θυσίαις ὑπὸ τῶν ναυτιλλομένων τιμᾶσθαι. Προσάπτουσι δ' αὐτῷ καὶ τὸ τοὺς ἵππους δαμάσαι πρῶτον, καὶ τὴν ἐπιστήμην καταδεῖξαι τὴν περὶ τὴν ἱππικήν· ἀφ' ἧς Ἵππειον αὐτὸν ὠνομάσθαι. Τὸν δ' Ἅιδην λέγεται τὰ περὶ τὰς ταφὰς καὶ τὰς ἐκφορὰς καὶ τιμὰς τῶν τεθνεώτων καταδεῖξαι, τὸν πρὸ τοῦ χρόνον μηδεμιᾶς οὔσης ἐπιμελείας περὶ αὐτούς. Διὸ καὶ τῶν τετελευτηκότων ὁ θεὸς οὗτος παρείληπται κυριεύειν, ἀπονεμηθείσης τὸ παλαιὸν αὐτῷ τῆς τούτων ἀρχῆς καὶ φροντίδος.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

70. Περὶ δὲ τῆς τοῦ Διὸς γενέσεώς τε καὶ βασιλείας διαφωνεῖται. Καὶ τινὲς μὲν φασιν αὐτόν, μετὰ τὴν ἐξ ἀνθρώπων τοῦ Κρόνου μετάστασιν εἰς θεούς, διαδέξασθαι τὴν βασιλείαν, οὐ βίᾳ κατισχύσαντα τὸν πατέρα, νομίμως δὲ καὶ δικαίως ἀξιωθέντα ταύτης τῆς τιμῆς· τινὲς δὲ μυθολογοῦσι τῷ Κρόνῳ γενέσθαι λόγιον περὶ τῆς τοῦ Διὸς γενέσεως, ὅτι παρελεῖται τὴν βασιλείαν αὐτοῦ βιαίως ὁ γεννηθεὶς παῖς. Διόπερ τὸν μὲν Κρόνον τὰ γεννώμενα παιδία πλεονάκις ἀφανίζειν, τὴν δὲ Ῥέαν ἀγανακτήσασαν, καὶ μὴ δυναμένην μεταθεῖναι τὴν προαίρεσιν τἀνδρός, τὸν Δία τεκοῦσαν ἐν τῇ προσαγορευομένῃ Δίκτῃ κλέψαι, καὶ δοῦναι λάθρα τοῖς Κούρησιν ἐκθρέψαι, τοῖς κατοικοῦσι πλησίον ὄρους τῆς Ἴδης. Τούτους δ' ἀπενέγκαντας εἴς τι ἄντρον, παραδοῦναι ταῖς νύμφαις, παρακελευσαμένους τὴν πᾶσαν ἐπιμέλειαν αὐτοῦ ποιήσασθαι. Αὗται δὲ μέλι καὶ γάλα μίσγουσαι, τὸ παιδίον ἔθρεψαν, καὶ τῆς αἰγὸς τῆς ὀνομαζομένης Ἀμαλθείας τὸν μαστὸν εἰς διατροφὴν παρείχοντο. Σημεῖα δὲ πολλὰ μέχρι τοῦ νῦν διαμένειν τῆς γενέσεως καὶ διατροφῆς τοῦ θεοῦ τούτου κατὰ τὴν νῆσον. Φερομένου μὲν γὰρ ὑπὸ τῶν Κουρήτων αὐτοῦ νηπίου, φασὶν ἀποπεσεῖν τὸν ὀμφαλὸν περὶ τὸν ποταμὸν τὸν καλούμενον Τρίτωνα· καὶ τὸ χωρίον δὲ τοῦτο καθιερωθέν, ἀπὸ τοῦ τότε συμβάντος Ὀμφαλὸν προσαγορευθῆναι, καὶ τὸ περικείμενον πεδίον ὁμοίως Ὀμφάλειον. Κατὰ δὲ τὴν Ἴδην, ἐν ᾗ συνέβη τραφῆναι τὸν θεόν, τό, τε ἄντρον ἐν ᾧ τὴν δίαιταν εἶχε, καθιέρωται, καὶ οἱ περὶ αὐτὸ λειμῶνες ὁμοίως ἀνεῖνται, περὶ τὴν ἀκρώρειαν ὄντες. Τὸ δὲ πάντων παραδοξότατον καὶ μυθολογούμενον περὶ τῶν μελιττῶν οὐκ ἄξιον παραλιπεῖν. Τὸν γὰρ θεόν φασιν ἀθάνατον μνήμην τῆς πρὸς αὐτὰς οἰκειότητος διαφυλάξαι βουλόμενον, ἀλλάξαι μὲν τὴν χρόαν αὐτῶν, καὶ ποιῆσαι χαλκῷ χρυσοειδεῖ παραπλησίαν· τοῦ τόπου δ' ὄντος ὑψηλοῦ καθ' ὑπερβολήν, καὶ πνευμάτων τε μεγάλων ἐν αὐτῷ γινομένων, καὶ χιόνος πολλῆς πιπτούσης, ἀνεπαισθήτους αὐτὰς καὶ ἀπαθεῖς ποιῆσαι, δυσχειμεροτάτους τόπους νεμομένας. Τῇ θρεψάσῃ δ' αἰγὶ τιμάς τε τινὰς ἄλλας ἀπονεῖμαι, καὶ τὴν ἐπωνυμίαν ἀπ' αὐτῆς λαβεῖν, Αἰγίοχον ἐπονομασθέντα. Ἀνδρωθέντα δ' αὐτόν φασι πρῶτον

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

πόλιν κτίσαι περὶ τὴν Δίκταν, ὅπου καὶ τὴν γένεσιν αὐτοῦ γενέσθαι μυθολογοῦσιν· ἧς ἐκλειφθείσης ἐν τοῖς ὕστερον χρόνοις, διαμένειν ἔτι καὶ νῦν ἔρματα τῶν θεμελίων.

71. Διενεγκεῖν δὲ τὸν θεὸν τοῦτον ἁπάντων ἀνδρείᾳ καὶ συνέσει καὶ δικαιοσύνῃ καὶ ταῖς ἄλλαις ἁπάσαις ἀρεταῖς. Διὸ καὶ παραλαβόντα τὴν βασιλείαν παρὰ τοῦ Κρόνου, πλεῖστα καὶ μέγιστα τὸν ἀνθρώπινον βίον εὐεργετῆσαι. Πρῶτον μὲν γὰρ ἁπάντων καταδεῖξαι περὶ τῶν ἀδικημάτων τὸ δίκαιον ἀλλήλοις διδόναι τοὺς ἀνθρώπους, καὶ τοῦ βίᾳ τι πράττειν ἀποστῆσαι· κρίσει δὲ καὶ δικαστηρίῳ τὰς ἀμφισβητήσεις διαλύειν. Καθόλου δὲ τὰ περί τε τῆς εὐνομίας καὶ τῆς εἰρήνης προσαναπληρῶσαι, τοὺς μὲν ἀγαθοὺς πείθοντα, τοὺς δὲ φαύλους τῇ τιμωρίᾳ καὶ τῷ φόβῳ καταπληττόμενον. Ἐπελθεῖν δ' αὐτὸν καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν, τοὺς μὲν λῃστὰς καὶ ἀσεβεῖς ἀναιροῦντα, τὴν δ' ἰσότητα καὶ τὴν δημοκρατίαν εἰσηγούμενον· ὅτε δὴ φασιν αὐτὸν καὶ τοὺς Γίγαντας ἀνελεῖν, ἐν μὲν Κρήτῃ τοὺς περὶ Μύλινον, κατὰ δὲ τὴν Φρυγίαν τοὺς περὶ τυφῶνα. Πρὸ δὲ τῆς μάχης τῆς πρὸς τοὺς Γίγαντας τοὺς ἐν Κρήτῃ, λέγεται τὸν Δία θῦσαι ἡλίῳ καὶ οὐρανῷ καὶ γῇ· ἐπὶ δὲ τῶν ἱερῶν ἁπάντων φανῆναι τὰ παρὰ τούτων ἐπικριθέντα, ἃ πρῶτον ἐπισημαίνεται κράτος καὶ ἀπόστασιν ἀπὸ τῶν πολεμίων πρὸς αὐτούς· ἀκόλουθον δὲ τούτοις γενέσθαι τοῦ πολέμου τὸ τέλος. Αὐτομολῆσαι μὲν γὰρ ἐκ τῶν πολεμίων Μουσαῖον, καὶ τυχεῖν ὡρισμένων τιμῶν· κατακοπῆναι δ' ὑπὸ τῶν θεῶν ἅπαντας τοὺς ἀντιταξαμένους. Συστῆναι δὲ καὶ ἄλλους πολέμους αὐτῷ πρὸς Γίγαντας, τῆς μὲν Μακεδονίας περὶ τὴν Παλλήνην, τῆς δ' Ἰταλίας κατὰ τὸ πεδίον, ὃ τὸ μὲν παλαιὸν ἀπὸ τοῦ κατακεκαυμένου τόπου Φλεγραῖον ὠνομάζετο, κατὰ δὲ τοὺς ὕστερον χρόνους Κυμαῖον προσηγορεύθη. Κολασθῆναι δὲ τοὺς γίγαντας ὑπὸ Διὸς διὰ τὴν εἰς τοὺς ἄλλους ἀνθρώπους παρανομίαν, καὶ διὰ τὸ ταῖς τοῦ σώματος ὑπεροχαῖς καὶ ῥώμαις πεποιθότας, καταδουλοῦσθαι μὲν τοὺς πλησιοχώρους, ἀπειθεῖν δὲ τοῖς περὶ τοῦ δικαίου τιθεμένοις νόμοις, πόλεμον δ' ἐκφέρειν πρὸς τοὺς διὰ τὰς κοινὰς εὐεργεσίας ὑπὸ πάντων θεοὺς νομιζομένους. Τὸν δ' οὖν Δία λέγουσι μὴ μόνον ἄρδην ἐξ ἀνθρώπων ἀφανίσαι τοὺς ἀσεβεῖς



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ πονηρούς, ἀλλὰ καὶ τοῖς ἀρίστοις τῶν τε θεῶν καὶ ἡρώων, ἔτι δὲ ἀνδρῶν τὰς ἀξίας ἀπονεῖμαι τιμάς. Διὰ δὲ τὸ μέγεθος τῶν εὐεργεσιῶν καὶ τὴν ὑπεροχὴν τῆς δυνάμεως, συμφώνως αὐτῷ παρὰ πάντων συγκεχωρῆσθαι τήν τε βασιλείαν εἰς τὸν ἀεὶ χρόνον, καὶ τὴν οἴκησιν τὴν ἐν Ὀλύμπῳ.

72. Καταδειχθῆναι δὲ καὶ θυσίας αὐτῷ συντελεῖν ὑπὲρ τοὺς ἄλλους ἅπαντας, καὶ μετὰ τὴν ἐκ γῆς μετάστασιν εἰς τὸν οὐρανὸν ἐγγενέσθαι δόξας δικαίους ἐν ταῖς τῶν εὖ πεπονθότων ψυχαῖς, ὡς ἁπάντων τῶν γινομένων κατὰ οὐρανὸν οὗτος εἴη κύριος· λέγω δὲ ὄμβρων τε καὶ βροντῶν καὶ κεραυνῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων. Διόπερ αὐτὸν προσαγορευθῆναι Ζῆνα μέν, ἀπὸ τοῦ δοκεῖν τοῖς ἀνθρώποις αἴτιον εἶναι τοῦ ζῆν, ταῖς ἐκ τοῦ περιέχοντος εὐκρασίαις τοὺς καρποὺς ἀνάγοντα πρὸς τέλος· πατέρα δέ, διὰ τὴν φροντίδα καὶ τὴν εὔνοιαν τὴν εἰς ἅπαντας, ἔτι δὲ καὶ τὸ δοκεῖν ὥσπερ ἀρχηγὸν εἶναι τοῦ γένους τῶν ἀνθρώπων· ὕπατον δὲ καὶ βασιλέα, διὰ τὴν τῆς ἀρχῆς ὑπεροχήν· εὐβουλέα δὲ καὶ μητιέτην, διὰ τὴν ἐν τῷ βουλεύεσθαι καλῶς σύνεσιν. Μυθολογοῦσι δὲ καὶ τὴν Ἀθηνᾶν κατὰ τὴν Κρήτην ἐκ Διὸς ἐν ταῖς πηγαῖς τοῦ Τρίτωνος ποταμοῦ γεννηθῆναι· διὸ καὶ Τριτογένειαν ἐπονομασθῆναι. Ἔστι δὲ καὶ νῦν ἔτι περὶ τὰς πηγὰς ταύτας ἱερὸν ἅγιον τῆς θεοῦ ταύτης· ἐν ᾧ τόπῳ τὴν γένεσιν αὐτῆς ὑπάρξαι μυθολογοῦσι. Λέγουσι δὲ καὶ τοὺς γάμους τούς τε Διὸς καὶ τῆς Ἥρας ἐν τῇ Κνωσσίων χώρᾳ γενέσθαι κατά τινα τόπον πλησίον τοῦ Θήρηνος ποταμοῦ, καθ' ὃν νῦν ἱερόν ἐστιν, ἐν ᾧ θυσίας κατ' ἐνιαυτὸν ἁγίους ὑπὸ τῶν ἐγχωρίων συντελεῖσθαι· καὶ τοὺς γάμους ἀπομιμεῖσθαι, καθάπερ ἐξ ἀρχῆς γενέσθαι παρεδόθη. Τοὺς δὲ Διὸς ἐκγόνους φασὶ γενέσθαι, θεὰς μέν, Ἀφροδίτην καὶ Χάριτας, πρὸς δὲ ταύταις Εἰλείθυιαν, καὶ τὴν ταύτης συνεργὸν Ἄρτεμιν, καὶ τὰς προσαγορευομένας Ὥρας, Εὐνομίαν τε καὶ Δίκην, ἔτι δ' Εἰρήνην· θεοὺς δέ, Ἥφαιστον καὶ Ἄρεα καὶ Ἀπόλλωνα, πρὸς δὲ τούτοις Ἑρμῆν.

73. Τούτων δ' ἑκάστῳ μυθολογοῦσι τὸν Δία τῶν εὑρεθέντων ὑπ' αὐτοῦ καὶ συντελουμένων ἔργων τὰς ἐπιστήμας καὶ τὰς τιμὰς τῆς εὑρέσεως ἀπονεῖμαι, βουλόμενον αἰώνιον

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

αὐτοῖς περιποιῆσαι μνήμην παρὰ πᾶσιν ἀνθρώποις. Παραδοθῆναι δὲ τῇ μὲν Ἀφροδίτῃ τήν τε τῶν παρθένων ἡλικίαν, ἐν οἷς χρόνοις δεῖ γαμεῖν αὐτάς, καὶ τὴν ἄλλην ἐπιμέλειαν, τὴν ἔτι καὶ νῦν ἐν τοῖς γάμοις γινομένην μετὰ θυσιῶν καὶ σπονδῶν, ἃς ποιοῦσιν ἄνθρωποι τῇ θεῷ ταύτῃ. Προθύουσι δὲ πρότερον ἅπαντες τῷ Διῒ τῷ τελείῳ, καὶ Ἥρᾳ τελείᾳ, διὰ τὸ τούτους ἀρχηγοὺς γεγονέναι καὶ πάντων εὑρετάς, καθότι προείρηται. Ταῖς δὲ Χάρισι δοθῆναι τὴν τῆς ὄψεως κόσμησιν, καὶ το σχηματίζειν ἕκαστον μέρος τοῦ σώματος πρὸς τὸ βέλτιον καὶ προσηνὲς τοῖς θεωροῦσι· πρὸς δὲ τούτοις τὸ κατάρχειν εὐεργεσίας, καὶ πάλιν ἀμείβεσθαι ταῖς προσηκούσαις χάρισι τοὺς εὐποιήσαντας. Εἰλείθυιαν δὲ λαβεῖν τὴν περὶ τὰς τικτούσας ἐπιμέλειαν, καὶ θεραπείαν τῶν ἐν τῷ τίκτειν κακοπαθουσῶν· διὸ καὶ τὰς ἐν τοῖς τοιούτοις κινδυνευούσας γυναῖκας ἐπικαλεῖσθαι μάλιστα τὴν θεὸν ταύτην. Ἄρτεμιν δέ φασιν εὑρεῖν τὴν τῶν νηπίων παιδίων θεραπείαν, καὶ τροφάς τινας ἁρμοζούσας τῇ φύσει τῶν βρεφῶν· ἀφ' ἧς αἰτίας καὶ Κουροτρόφον αὐτὴν ὀνομάζεσθαι. Τῶν δ' ὀνομαζομένων Ὡρῶν ἑκάστῃ δοθῆναι τὴν ἐπώνυμον τάξιν τε καὶ τοῦ βίου διακόσμησιν, ἐπὶ τῇ μεγίστῃ τῶν ἀνθρώπων ὠφελείᾳ· μηδὲν γὰρ εἶναι μᾶλλον δυνάμενον εὐδαίμονα βίον παρασκευάσαι τῆς εὐνομίας καὶ δίκης καὶ εἰρήνης. Ἀθηνᾷ δὲ προσάπτουσι τήν τε τῶν ἐλαιῶν ἡμέρωσιν καὶ φυτείαν παραδοῦναι τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ καρποῦ τούτου κατεργασίαν· πρὸ γὰρ τοῦ γενέσθαι τὴν θεὸν ταύτην, ὑπάρξαι μὲν τὸ γένος τοῦτο τῶν δένδρων μετὰ τῆς ἄλλης ἀγρίας ὕλης, τὴν μέντοι γ' ἐπιμέλειαν ταύτης οὐκ εἶναι, καὶ τὴν ἐμπειρίαν, τὴν ἔτι καὶ νῦν γινομένην περὶ τούτων· πρὸς δὲ τούτοις τὴν τῆς ἐσθῆτος κατασκευήν, καὶ τὴν τεκτονικὴν τέχνην, ἔτι δὲ πολλὰ τῶν ἐν ταῖς ἄλλαις ἐπιστήμαις εἰσηγήσασθαι τοῖς ἀνθρώποις· εὑρεῖν δὲ καὶ τὴν τῶν αὐλῶν κατασκευὴν καὶ τὴν διὰ τούτων συντελουμένην μουσικήν, καὶ τὸ σύνολον πολλὰ τῶν φιλοτέχνων ἔργων, ἀφ' ὧν Ἐργάνην αὐτὴν προσαγορεύεσθαι.

74. Ταῖς δὲ Μούσαις δοθῆναι παρὰ τοῦ πατρὸς τὴν τῶν γραμμάτων εὕρεσιν, καὶ τὴν τῶν ἐπῶν σύνθεσιν, τὴν προσαγορευομένην ποιητικήν. Πρὸς δὲ τοὺς λέγοντας, ὅτι Σύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

ροι μὲν εὑρεταὶ τῶν γραμμάτων εἰσί, παρὰ δὲ τούτων Φοίνικες μαθόντες τοῖς Ἕλλησι παραδεδώκασιν· οὗτοι δ' εἰσὶ οἱ μετὰ Κάδμου πλεύσαντες εἰς τὴν Εὐρώπην· καὶ διὰ τοῦτο τοὺς Ἕλληνας τὰ γράμματα Φοινίκια προσαγορεύειν, φασὶ τοὺς Φοίνικας οὐκ ἐξ ἀρχῆς εὑρεῖν, ἀλλὰ τοὺς τύπους τῶν γραμμάτων μεταθεῖναι μόνον, καὶ τῇ γραφῇ ταύτῃ τοὺς πλείστους τῶν ἀνθρώπων χρήσασθαι, καὶ διὰ τοῦτο τυχεῖν τῆς προειρημένης προσηγορίας. Ἥφαιστον δὲ λέγουσιν εὑρετὴν γενέσθαι τῆς περὶ τὸν σίδηρον ἐργασίας ἁπάσης, καὶ τῆς περὶ τὸν χαλκὸν καὶ χρυσὸν καὶ ἄργυρον, καὶ τῶν ἄλλων ὅσα τὴν ἐκ τοῦ πυρὸς ἐργασίαν ἐπιδέχεται· καὶ τὰς ἄλλας δὲ χρείας τὰς τοῦ πυρὸς ἁπάσας προσεξευρεῖν, καὶ παραδοῦναι τοῖς τε τὰς τέχνας ἐργαζομένοις καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις. Διόπερ οἵ τε τῶν τεχνῶν τούτων δημιουργοὶ τὰς εὐχὰς καὶ θυσίας τούτῳ τῷ θεῷ μάλιστα ποιοῦσι, καὶ τὸ πῦρ οὗτοί τε καὶ πάντες οἱ ἄνθρωποι προσαγορεύουσιν Ἥφαιστον, εἰς μνήμην καὶ τιμὴν ἀθάνατον τιθέμενοι τὴν ἐξ ἀρχῆς τῷ κοινῷ βίῳ δεδομένην εὐεργεσίαν. Τὸν Ἄρην δὲ μυθολογοῦσι πρῶτον κατασκευάσαι πανοπλίαν, καὶ στρατιώτας καθοπλίσαι, καὶ τὴν ἐν ταῖς μάχαις ἐναγώνιον ἐνέργειαν εἰσηγήσασθαι, φονεύοντα τοὺς ἀπειθοῦντας τοῖς θεοῖς. Ἀπόλλωνα δὲ τῆς κιθάρας εὑρετὴν ἀναγορεύουσι, καὶ τῆς κατ' αὐτὴν μουσικῆς· ἔτι δὲ τὴν ἰατρικὴν ἐπιστήμην ἐξενεγκεῖν, διὰ τῆς μαντικῆς τέχνης γινομένην, δι' ἧς τὸ παλαιὸν συνέβαινε θεραπείας τυγχάνειν τοὺς ἀρρωστοῦντας· εὑρετὴν δὲ καὶ τοῦ τόξου γενόμενον, διδάξαι τοὺς ἐγχωρίους τὰ περὶ τὴν τοξείαν· ἀφ' ἧς αἰτίας μάλιστα παρὰ τοῖς Κρησὶν ἐζηλῶσθαι τὴν τοξικήν. (καὶ τὸ τόξον Σκυθικὸν ὀνομασθῆναι.) Ἀπόλλωνος δὲ καὶ Κορωνίδος Ἀσκληπιὸν γεννηθέντα, καὶ πολλὰ παρὰ τοῦ πατρὸς τῶν εἰς ἰατρικὴν μαθόντα, προσεξευρεῖν τήν τε χειρουργίαν καὶ τὰς τῶν φαρμάκων σκευασίας καὶ ῥιζῶν δυνάμεις, καὶ καθόλου προβιβάσαι τὴν τέχνην ἐπὶ τοσοῦτον, ὥστε ὡς ἀρχηγὸν αὐτῆς καὶ κτίστην τιμᾶσθαι.

Τῷ δ' Ἑρμῇ προσάπτουσι τὰς ἐν τοῖς πολέμοις γινομένας ἐπικηρυκείας καὶ διαλλαγὰς καὶ σπονδάς· καὶ τὸ τούτων σύσσημον κηρύκειον, ὃ φορεῖν εἰώθασιν οἱ περὶ τῶν

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

τοιούτων τοὺς λόγους ποιούμενοι, καὶ διὰ τούτου τυγχάνοντες παρὰ τοῖς πολεμίοις ἀσφαλείας· ὅθεν δὴ καὶ κοινὸν Ἑρμῆς ὠνομάσθαι, διὰ τὸ τὴν ὠφέλειαν ἀμφοτέροις εἶναι κοινὴν τοῖς ἐν τῷ πολέμῳ τὴν εἰρήνην μεταλαμβάνουσι. Φασὶ δ' αὐτὸν καὶ μέτρα καὶ σταθμὰ καὶ τὰ ἐκ τῆς ἐμπορίας κέρδη πρῶτον ἐπινοῆσαι, καὶ τὸ λάθρα τὰ τῶν ἄλλων σφετερίζεσθαι. Παραδεδόσθαι δ' αὐτὸν καὶ κήρυκα τῶν θεῶν, ἔτι δ' ἄγγελον ἄριστον, διὰ τὸ σαφῶς αὐτὸν ἕκαστα τῶν εἰς ἐντολὴν δοθέντων ἑρμηνεύειν· ἀφ' οὗ καὶ τετευχέναι τῆς προσηγορίας αὐτὸν ταύτης, οὐχ εὑρετὴν τῶν ὀνομάτων καὶ λέξεων γενόμενον, ὥς τινές φασιν, ἀλλὰ τὸ τῆς ἀπαγγελίας ἄρτιον καὶ σαφὲς ἐκπεπονηκότα περισσότερον τῶν ἄλλων. Εἰσηγητὴν δ' αὐτὸν καὶ παλαίστρας γενέσθαι, καὶ τὴν ἀπὸ τῆς χελώνης λύραν ἐπινοῆσαι, μετὰ τὴν Ἀπόλλωνος πρὸς Μαρσύαν σύγκρισιν· καθ' ἣν λέγεται τὸν Ἀπόλλωνα νικήσαντα, καὶ τιμωρίαν ὑπὲρ τὴν ἀξίαν λαβόντα παρὰ τοῦ λειφθέντος, μεταμεληθῆναι καὶ τὰς ἐκ τῆς κιθάρας χορδὰς ἐκρήξαντα, μέχρι τινὸς χρόνου τῆς ἐν αὐτῇ μουσικῆς ἀποστῆναι. Διόνυσον δὲ μυθολογοῦσιν εὑρετὴν γενέσθαι τῆς τ' ἀμπέλου καὶ τῆς περὶ ταύτην ἐργασίας, ἔτι δ' οἰνοποιΐας, καὶ τοῦ πολλοὺς τῶν ἐκ τῆς ὀπώρας καρπῶν ἀποθησαυρίζειν, (καὶ τὰς χρείας καὶ τὰς τροφὰς παρέχεσθαι τοῖς ἀνθρώποις ἐπὶ πολὺν χρόνον.)

## ΗΡΑΚΛΗΣ.

[Ἐκ τοῦ Δ'. Βιβλ.]

9. Τῆς Ἀκρισίου Δανάης καὶ Διός φασι γενέσθαι Περσέα· τούτῳ δὲ μιγεῖσαν τὴν Κηφέως Ἀνδρομέδαν, Ἠλεκτρυόνα γεννῆσαι· ἔπειτα τούτῳ τὴν Πέλοπος Εὐρυδίκην συνοικήσασαν, Ἀλκμήνην τεκνῶσαι· καὶ ταύτῃ Δία μιγέντα δι' ἀπάτης, Ἡρακλέα γεννῆσαι. . . . . . Διελθόντος δὲ τοῦ κατὰ φύσιν χρόνου ταῖς ἐγκύοις τὸν μὲν Δία πρὸς τὴν Ἡρακλέους γένεσιν ἐνεχθέντα τῇ διανοίᾳ, προειπεῖν παρόντων ἁπάντων τῶν θεῶν, ὅτι τὸν κατ' ἐκείνην τὴν ἡμέραν γεννώμενον, Περσειδῶν ποιήσει βασιλέα. Τὴν δ' Ἥραν ζηλοτυποῦσαν, καὶ συνεργὸν ἔχουσαν Εἰλείθυιαν τὴν θυγατέρα, τῆς μὲν Ἀλκμήνης παρακατασχεῖν τὰς ὠδῖνας, τὸν δ' Εὐρυσθέα πρὸ τοῦ καθήκοντος χρόνου πρὸς τὸ φῶς ἀγαγεῖν.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

Τὸν δὲ Δία καταστρατηγηθέντα, βουληθῆναι τήν τε ὑπόσχεσιν βεβαιῶσαι, καὶ τῆς Ἡρακλέους ἐπιφανείας προνοηθῆναι. Διό φασιν αὐτὸν τὴν μὲν Ἥραν πεῖσαι συγχωρῆσαι, βασιλέα μὲν ὑπάρξαι κατὰ τὴν ἰδίαν ὑπόσχεσιν Εὐρυσθέα, τὸν δ' Ἡρακλέα τεταγμένον ὑπὸ τὸν Εὐρυσθέα, τελέσαι δώδεκα ἄθλους, οὓς ἂν Εὐρυσθεὺς προστάξῃ, καὶ τοῦτο πράξαντα τυχεῖν τῆς ἀθανασίας. Ἀλκμήνη δὲ τεκοῦσα, καὶ φοβηθεῖσα τὴν τῆς Ἥρας ζηλοτυπίαν, ἐξέθηκε τὸ βρέφος εἰς τὸν τόπον, ὃς νῦν ἀπ' ἐκείνου καλεῖται πεδίον Ἡράκλειον· καθ' ὃν δὴ χρόνον Ἀθηνᾶ μετὰ τῆς Ἥρας προϊοῦσα καὶ θαυμάσασα τοῦ παιδίου τὴν φύσιν, συνέπεισε τὴν Ἥραν τὴν θηλὴν ὑποσχεῖν. Τοῦ δὲ παιδὸς ὑπὲρ τὴν ἡλικίαν βιαιότερον ἐπισπασαμένου τὴν θηλήν, ἡ μὲν Ἥρα διαλγήσασα, τὸ βρέφος ἔρριψεν. Ἀθηνᾶ δὲ κομίσασα αὐτὸ πρὸς τὴν μητέρα, τρέφειν παρεκελεύσατο. Θαυμάσαι δ' ἄν τις εἰκότως τὸ τῆς περιπετείας παράδοξον· ἡ μὲν γὰρ στέργειν ὀφείλουσα μήτηρ τὸ ἴδιον τέκνον, ἀπώλλυεν· ἡ δὲ μητρυιᾶς ἔχουσα μῖσος, δι' ἄγνοιαν ἔσωζε τὸ τῇ φύσει πολέμιον.

10 Μετὰ δὲ ταῦτα ἡ μὲν Ἥρα δύο δράκοντας ἀπέστειλε τοὺς ἀναλώσοντας τὸ βρέφος· ὁ δὲ παῖς οὐ καταπλαγεὶς ἑκατέρᾳ τῶν χειρῶν τὸν αὐχένα σφίγξας, ἀπέπνιξε τοὺς δράκοντας. Διόπερ Ἀργεῖοι, πυθόμενοι τὸ γινόμενον, Ἡρακλέα προσηγόρευσαν, ὅτι δι' Ἥραν ἔσχε κλέος, Ἀλκαῖον πρότερον καλούμενον. Τοῖς ἄλλοις μὲν οὖν οἱ γονεῖς τοὔνομα περιτιθέασι· τούτῳ δὲ μόνῳ ἡ ἀρετὴ τὴν προσηγορίαν ἔθετο. Μετὰ δὲ ταῦτα ὁ μὲν Ἀμφιτρύων φυγαδευθεὶς ἐκ Τίρυνθος μετῴκησεν εἰς Θήβας· ὁ δ' Ἡρακλῆς τραφεὶς καὶ παιδευθεὶς καὶ μάλιστα ἐν τοῖς γυμνασίοις διαπονηθείς, ἐγένετο ῥώμῃ τε σώματος πολὺ προέχων τῶν ἄλλων ἁπάντων, καὶ ψυχῆς λαμπρότητι περιβόητος· ὅς γε τὴν ἡλικίαν ἔφηβος ὢν πρῶτον μὲν ἠλευθέρωσε τὰς Θήβας, ἀποδιδοὺς ὡς πατρίδι τὰς προσηκούσας χάριτας. Ὑποτεταγμένων γὰρ τῶν Θηβαίων Ἐργίνῳ τῷ βασιλεῖ τῶν Μινυῶν, καὶ κατ' ἐνιαυτὸν ὡρισμένους φόρους τελούντων μεθ' ὕβρεως, οὐ καταπλαγεὶς τὴν τῶν δεδουλωμένων ὑπεροχήν, ἐτόλμησε πρᾶξιν ἐπιτελέσαι περιβόητον· τοὺς γὰρ παραγενομένους τῶν Μινυῶν ἐπὶ τὴν ἀπαίτησιν τῶν

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου
ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

δασμῶν, καὶ μεθ' ὕβρεως ἐκπραττομένους, ἀκρωτηριάσας ἐξέβαλεν ἐκ τῆς πόλεως. Ἐργίνου δ' ἐξαιτοῦντος τὸν αἴτιον, Κρέων βασιλεύων τῶν Θηβαίων καταπλαγεὶς τὸ βάρος τῆς ἐξουσίας, ἕτοιμος ἦν ἐκδιδόναι τὸν αἴτιον τῶν ἐγκλημάτων. Ὁ δ' Ἡρακλῆς πείσας τοὺς ἡλικιώτας ἐλευθεροῦν τὴν πατρίδα, κατέσπασεν ἐκ τῶν ναῶν τὰς προσηλωμένας πανοπλίας, ἃς οἱ πρόγονοι σκῦλα τοῖς θεοῖς ἦσαν ἀνατεθεικότες· οὐ γὰρ ἦν εὑρεῖν κατὰ τὴν πόλιν ἰδιωτικὸν ὅπλον, διὰ τὸ τοὺς Μινύας παρωπλικέναι τὴν πόλιν, ἵνα μηδεμίαν λαμβάνωσιν οἱ κατὰ τὰς Θήβας ἀποστάσεως ἔννοιαν. Ὁ δὲ Ἡρακλῆς πυθόμενος Ἐργῖνον τὸν βασιλέα τῶν Μινυῶν προσάγειν τῇ πόλει μετὰ στρατιωτῶν, ἀπαντήσας αὐτῷ κατά τινα στενοχωρίαν, καὶ τὸ μέγεθος τῆς τῶν πολεμίων δυνάμεως ἄχρηστον ποιήσας, αὐτόν τε τὸν Ἐργῖνον ἀνεῖλε, καὶ τοὺς μετ' αὐτοῦ σχεδὸν ἅπαντας ἀπέκτεινεν. Ἄφνω δὲ προσπεσὼν τῇ πόλει τῶν Ὀρχομενίων, καὶ παρεισπεσὼν ἐντὸς τῶν πυλῶν, τά τε βασίλεια τῶν Μινυῶν ἐνέπρησε, καὶ τὴν πόλιν κατέσκαψε. Περιβοήτου δὲ τῆς πράξεως γενομένης καθ' ὅλην τὴν Ἑλλάδα, καὶ πάντων θαυμαζόντων τὸ παράδοξον, ὁ μὲν βασιλεὺς Κρέων, θαυμάσας τὴν ἀρετὴν τοῦ νεανίσκου, τήν τε θυγατέρα Μεγάραν συνῴκισεν αὐτῷ, καὶ καθάπερ υἱῷ γνησίῳ τὰ κατὰ τὴν πόλιν ἐπέτρεψεν· Εὐρυσθεὺς δ' ὁ τὴν βασιλείαν ἔχων τῆς Ἀργείας, ὑποπτεύσας τὴν Ἡρακλέους αὔξησιν, μετεπέμπετό τε αὐτόν, καὶ προσέταττε τελεῖν ἄθλους. Οὐχ ὑπακούοντος δὲ τοῦ Ἡρακλέους, Ζεὺς μὲν ἀπέστειλε, διακελευόμενος ὑπουργεῖν Εὐρυσθεῖ· Ἡρακλῆς δὲ παρελθὼν εἰς Δελφούς, καὶ περὶ τούτων ἐπερωτήσας τὸν θεόν, ἔλαβε χρησμὸν τὸν δηλοῦντα, διότι τοῖς θεοῖς δέδοκται δώδεκα ἄθλους τελέσαι, προστάττοντος Εὐρυσθέως, καὶ τοῦτο πράξαντα τεύξεσθαι τῆς ἀθανασίας.

11. Τούτων δὲ προσταχθέντων, ὁ μὲν Ἡρακλῆς ἐνέπεσεν εἰς ἀθυμίαν οὐ τὴν τυχοῦσαν. Τό τε γὰρ τῷ ταπεινοτέρῳ δουλεύειν, οὐδαμῶς ἄξιον ἔκρινεν εἶναι τῆς ἰδίας ἀρετῆς· τό τε τῷ Διῒ καὶ πατρὶ μὴ πείθεσθαι, καὶ ἀσύμφορον ἐφαίνετο καὶ ἀδύνατον. Εἰς πολλὴν οὖν ἀμηχανίαν ἐμπίπτοντος αὐτοῦ, Ἥρα μὲν ἔπεμψεν αὐτῷ λύσσαν· ὁ δὲ τῇ ψυχῇ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δυσφορῶν, εἰς μανίαν ἐνέπεσε. Τοῦ πάθους δ' αὐξομένου, τῶν φρενῶν ἐκτὸς γενόμενος, τὸν μὲν Ἰόλαον ἐπεβάλετο κτείνειν· ἐκείνου δὲ φυγόντος, καὶ τῶν παίδων τῶν ἐκ Μεγάρας πλησίον διατριβόντων, τούτους ὡς πολεμίους κατετόξευσε. Μόλις δὲ τῆς μανίας ἀπολυθείς, καὶ ἐπιγνοὺς τὴν ἰδίαν ἄγνοιαν, περιαλγὴς ἦν ἐπὶ τῷ μεγέθει τῆς συμφορᾶς. Πάντων δ' αὐτῷ συλλυπουμένων καὶ συμπαθούντων, ἐπὶ πολὺν χρόνον κατὰ τὴν οἰκίαν ἡσύχαζεν, ἐκκλίνων τὰς τῶν ἀνθρώπων ὁμιλίας τε καὶ ἀπαντήσεις. Τέλος δὲ τοῦ χρόνου τὸ πάθος πραΰναντος, κρίνας ὑπομένειν τοὺς κινδύνους, παρεγένετο πρὸς Εὐρυσθέα· καὶ πρῶτον ἔλαβεν ἄθλον ἀποκτεῖναι τὸν ἐν Νεμέᾳ λέοντα. Οὗτος δὲ μεγέθει μὲν ὑπερφυὴς ἦν, ἄτρωτος δὲ ὢν σιδήρῳ καὶ χαλκῷ καὶ λίθῳ, τῆς κατὰ χεῖρα βιαζομένης προσεδεῖτο ἀνάγκης. Διέτριβε δὲ μάλιστα μεταξὺ Μυκηνῶν καὶ Νεμέας, περὶ ὄρος τὸ καλούμενον ἀπὸ τοῦ συμβεβηκότος Τρητόν· εἶχε γὰρ περὶ τὴν ῥίζαν διώρυγα διηνεκῆ, καθ' ἣν εἰώθει φωλεύειν τὸ θηρίον. Ὁ δ' Ἡρακλῆς καταντήσας ἐπὶ τὸν τόπον, προσέβαλεν αὐτῷ, καὶ τοῦ θηρίου συμφυγόντος εἰς τὴν διώρυγα, συνακολουθῶν αὐτῷ, καὶ τὸ ἕτερον τῶν στομίων ἐμφράξας, συνεπλάκη, καὶ τὸν αὐχένα σφίγξας τοῖς βραχίοσιν, ἀπέπνιξε. Τὴν δὲ δορὰν αὐτοῦ περιθέμενος, καὶ διὰ τὸ μέγεθος ἅπαν τὸ ἴδιον σῶμα περιλαβών, εἶχε σκεπαστήριον τῶν μετὰ ταῦτα κινδύνων. Δεύτερον δ' ἔλαβεν ἄθλον ἀποκτεῖναι τὴν Λερναίαν ὕδραν, ἧς ἐξ ἑνὸς σώματος ἑκατὸν αὐχένες, ἔχοντες κεφαλὰς ὄφεων, διετυποῦντο. Τούτων δ' εἰ μία διαφθαρείη, διπλασίας ὁ τμηθεὶς ἀνίει τόπους· δι' ἣν αἰτίαν ἀήττητος ὑπάρχειν διείληπτο, καὶ κατὰ λόγον· τὸ γὰρ χειρωθὲν αὐτῆς μέρος διπλάσιον ἀπεδίδου βοήθημα. Πρὸς δὲ τὴν δυστραπελίαν ταύτην ἐπινοήσας τι φιλοτέχνημα, προσέταξεν Ἰολάῳ τὸ ἀποτμηθὲν μέρος λαμπάδι καιομένῃ ἐπικαίειν, ἵνα τὴν ῥύσιν ἐπισχῇ τοῦ αἵματος. Οὕτως οὖν χειρωσάμενος τὸ ζῷον, εἰς τὴν χολὴν ἀπέβαπτε τὰς ἀκίδας, ἵνα τὸ βληθὲν βέλος ἔχῃ τὴν ἐκ τῆς ἀκίδος πληγὴν ἀνίατον.

12. Τρίτον δὲ πρόσταγμα ἔλαβεν, ἐνεγκεῖν τὸν Ἐρυμάνθιον κάπρον ζῶντα, ὃς διέτριβε μὲν ἐν πεδίῳ τῆς Ἀρκα-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δίκης· ἐδόκει δὲ τὸ πρόσταγμα τοῦτο πολλὴν ἔχειν δυσχέρειαν. Ἔδει γὰρ τὸν ἀγωνιζόμενον τοιούτῳ θηρίῳ, τοσαύτην κεκτῆσθαι περιουσίαν, ὥστε ἐπ' αὐτῆς τῆς μάχης ἀκριβῶς στοχάζεσθαι τοῦ καιροῦ. Ἔτι μὲν γὰρ ἰσχύοντα ἀφεὶς αὐτὸν, ἀπὸ τῶν ὀδόντων ἂν ἐκινδύνευσε· πλείω δὲ τοῦ δέοντος καταπολεμήσας, ἀπέκτεινεν, ὡς τὸν ἄθλον ὑπάρχειν ἀσυντέλεστον. Ὅμως δὲ κατὰ τὴν μάχην ταμιευσάμενος ἀκριβῶς τὴν συμμετρίαν, ἀπήνεγκε τὸν κάπρον ζῶντα πρὸς Εὐρυσθέα· ὃν ἰδὼν ὁ βασιλεὺς ἐπὶ τῶν ὤμων φέροντα, καὶ φοβηθεὶς, ἔκρυψεν ἑαυτὸν εἰς χαλκοῦν πίθον. . . .

13. Μετὰ δὲ ταῦτ' ἔλαβε πρόσταγμα τὴν χρυσόκερων μὲν οὖσαν ἔλαφον, τάχει δὲ διαφέρουσαν, ἀγαγεῖν. Τοῦτον δὲ τὸν ἄθλον συντελῶν, ἐπίνοιαν ἔσχεν οὐκ ἀχρηστοτέραν τῆς κατὰ τὸ σῶμα ῥώμης. Οἱ μὲν γάρ φασιν αὐτὴν ἄρκυσιν ἑλεῖν· οἱ δὲ, διὰ τῆς στιβείας χειρώσασθαι καθεύδουσαν· τινὲς δὲ, συνεχεῖ διωγμῷ καταπονῆσαι· πλὴν ἄνευ βίας καὶ κινδύνων διὰ τῆς κατὰ τὴν ψυχὴν ἀγχινοίας τὸν ἄθλον τοῦτον κατειργάσατο. Ὁ δ' Ἡρακλῆς πρόσταγμα λαβὼν, τὰς ἐκ τῆς Στυμφαλίδος λίμνης ὄρνιθας ἐξελάσαι, τέχνῃ καὶ ἐπινοίᾳ ῥᾳδίως συντέλεσε τὸν ἄθλον. Ἐπεπόλασε γὰρ, ὡς ἔοικεν, ὀρνίθων πλῆθος ἀμύθητον, καὶ τοὺς ἐν τῇ πλησίον χώρᾳ καρποὺς ἐλυμαίνετο. Βίᾳ μὲν οὖν ἀδύνατον ἦν χειρώσασθαι τὰ ζῶα, διὰ τὴν ὑπερβολὴν τοῦ πλήθους· φιλοτέχνου δὲ ἐπινοίας ἡ πρᾶξις προσεδεῖτο. Διόπερ κατασκευάσας χαλκῆν πλαταγὴν, καὶ διὰ ταύτης ἐξαίσιον κατασκευάζων ψόφον, ἐξεφόβει τὰ ζῶα, καὶ πέρας τῇ συνεχείᾳ τοῦ κρότου ῥᾳδίως ἐκπολεμήσας, καθαρὰν ἐποίησε τὴν λίμνην. Τελέσας δὲ καὶ τοῦτον τὸν ἄθλον, ἔλαβε παρ' Εὐρυσθέως πρόσταγμα, τὴν αὐλὴν τοῦ Αὐγείου καθᾶραι, μηδενὸς βοηθοῦντος· αὕτη δ' ἐκ πολλῶν ἐτῶν ἠθροισμένην κόπρον εἶχεν ἄπλετον, ἣν ὕβρεως ἕνεκεν Εὐρυσθεὺς προσέταξε καθᾶραι. Ὁ δ' Ἡρακλῆς τὸ μὲν τοῖς ὤμοις ἐξενεγκεῖν αὐτὴν ἀπεδοκίμασεν, ἐκκλίνων τὴν ἐκ τῆς ὕβρεως αἰσχύνην· ἐπαγαγὼν δὲ τὸν Πηνειὸν καλούμενον ποταμὸν ἐπὶ τὴν αὐλὴν, καὶ διὰ τοῦ ῥεύματος ἐκκαθάρας αὐτὴν, χωρὶς ὕβρεως



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

συνετέλεσε τὸν ἆθλον ἐν ἡμέρᾳ μιᾷ. Διὸ καὶ θαυμάσαι ἄν τις τὴν ἐπίνοιαν· τὸ γὰρ ὑπερήφανον τοῦ προστάγματος χωρὶς αἰσχύνης ἐπετέλεσεν, οὐδὲν ὑπομείνας ἀνάξιον τῆς ἀθανασίας. Μετὰ δὲ ταῦτα λαβὼν ἆθλον τὸν ἐκ Κρήτης ταῦρον ἀγαγεῖν, οὗ Πασιφάην ἐρασθῆναί φασι, πλεύσας εἰς τὴν νῆσον, καὶ Μίνω τὸν βασιλέα συνεργὸν λαβών, ἤγαγεν εἰς Πελοπόννησον, τὸ τηλικοῦτον πέλαγος ἐπ' αὐτῷ ναυστοληθείς.

14. Τελέσας δὲ τοῦτον τὸν ἆθλον, τὸν Ὀλυμπιακὸν ἀγῶνα συνεστήσατο, κάλλιστον τῶν τόπων πρὸς τηλικαύτην πανήγυριν προκρίνας, τὸ παρὰ τὸν Ἀλφειὸν ποταμὸν πεδίον, ἐν ᾧ τὸν ἀγῶνα τοῦτον τῷ Διὶ τῷ πατρίῳ καθιέρωσε. Στεφανίτην δ' αὐτὸν κατασκεύασεν, ὅτι καὶ αὐτὸς εὐηργέτησε τὸ γένος τῶν ἀνθρώπων, οὐδένα λαβὼν μισθόν. Τὰ δὲ ἀθλήματα πάντα αὐτὸς ἀδηρίτως ἐνίκησε, μηδενὸς τολμήσαντος αὐτῷ συγκριθῆναι διὰ τὴν ὑπερβολὴν τῆς ἀρετῆς, καίπερ τῶν ἀθλημάτων ἐναντίων ἀλλήλοις ὄντων. Τὸν γὰρ πύκτην ἢ παγκρατιαστὴν τοῦ σταδιέως δύσκολον περιγενέσθαι, καὶ πάλιν τὸν ἐν τοῖς κούφοις ἀθλήμασι πρωτεύοντα (καταγωνίσασθαι) τοὺς ἐν τοῖς βαρέσιν ὑπερέχοντας δυσχερὲς καταπονῆσαι. Διόπερ εἰκότως ἐγένετο τιμιώτατος ἁπάντων τῶν ἀγώνων οὗτος, τὴν ἀρχὴν ἀπ' ἀγαθοῦ λαβών. Οὐκ ἄξιον δὲ παραλιπεῖν οὐδὲ τὰς ὑπὸ τῶν θεῶν δοθείσας αὐτῷ δωρεὰς διὰ τὴν ἀρετήν. Ἀπὸ γὰρ τῶν πολέμων τραπέντος αὐτοῦ πρὸς ἀνέσεις τε καὶ πανηγύρεις, ἔτι δὲ ἑορτὰς καὶ ἀγῶνας, ἐτίμησαν αὐτὸν δωρεαῖς οἰκείαις ἕκαστος τῶν θεῶν· Ἀθηνᾶ μὲν πέπλῳ, Ἥφαιστος δὲ ῥοπάλῳ καὶ θώρακι· καὶ πρὸς ἀλλήλους ἐφιλοτιμήθησαν οἱ προειρημένοι θεοὶ κατὰ τὰς τέχνας, τῆς μὲν πρὸς εἰρηνικὴν ἀπόλαυσιν καὶ τέρψιν, τοῦ δὲ πρὸς τὴν τῶν πολεμικῶν κινδύνων ἀσφάλειαν. Τῶν δὲ ἄλλων Ποσειδῶν μὲν ἵππους ἐδωρήσατο, Ἑρμῆς δὲ ξίφος, Ἀπόλλων δὲ τόξον τε ἔδωκε, καὶ τοξεύειν ἐδίδαξε· Δημήτηρ δὲ πρὸς τὸν καθαρμὸν τοῦ Κενταύρων φόνου τὰ μικρὰ μυστήρια συνεστήσατο, τὸν Ἡρακλέα τιμῶσα....

15. ... Μετὰ δὲ ταῦτα ἔλαβεν ἆθλον, ἀγαγεῖν τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους. Αὗται δὲ χαλκᾶς μὲν φάτνας

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

εἶχον διὰ τὴν ἀγριότητα, ἁλύσεσι δὲ σιδηραῖς διὰ τὴν ἰσχὺν ἐδεσμεύοντο· τροφὴν δ' ἐλάμβανον οὐ τὴν ἐκ γῆς φυομένην, ἀλλὰ τὰ τῶν ξένων μέλη διαιρούμεναι, τροφὴν εἶχον τὴν συμφορὰν τῶν ἀκληρούντων. Ταύτας ὁ Ἡρακλῆς βουλόμενος χειρώσασθαι, τὸν κύριον Διομήδη παρέβαλε, καὶ ταῖς τοῦ παρανομεῖν διδάξαντος σαρξὶν ἐκπληρώσας τὴν ἔνδειαν τῶν ζώων, εὐπειθεῖς ἔσχεν. Εὐρυσθεὺς δὲ, ἀχθεισῶν πρὸς αὐτὸν τῶν ἵππων, ταύτας μὲν ἱερὰς ἐποίησεν Ἥρας, ὧν τὴν ἐπιγονὴν συνέβη διαμεῖναι μέχρι τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος βασιλείας. Τοῦτον δὲ τὸν ἆθλον ἐπιτελέσας, μετ' Ἰάσονος ἔπλευσε συστρατεύσων ἐπὶ τὸ χρυσόμαλλον δέρας εἰς Κόλχους. . . .

16. Ἡρακλῆς δὲ λαβὼν πρόσταγμα τὸν Ἱππολύτης τῆς Ἀμαζόνος ἐνεγκεῖν ζωστῆρα, τὴν ἐπὶ τὰς Ἀμαζόνας στρατείαν ἐποιήσατο. Πλεύσας οὖν εἰς τὸν ἀπ' ἐκείνου Εὔξεινον κληθέντα Πόντον, καὶ καταπλεύσας ἐπὶ τὰς ἐκβολὰς τοῦ Θερμώδοντος ποταμοῦ, πλησίον Θεμισκύρας πόλεως κατεστρατοπέδευσεν, ἐν ᾗ τὰ βασίλεια τῶν Ἀμαζόνων ὑπῆρχε. Καὶ τὸ μὲν πρῶτον ᾔτει παρ' αὐτῶν τὸν προστεταγμένον ζωστῆρα· ὡς δ' οὐχ ὑπήκουον, συνῆψε μάχην αὐταῖς. Τὸ μὲν οὖν ἄλλο πλῆθος αὐτῶν ἀντετάχθη τοῖς πολλοῖς· αἱ δ' ἐπισημόταται κατ' αὐτὸν ταχθεῖσαι τὸν Ἡρακλέα, μάχην καρτερὰν συνεστήσαντο. Πρώτη μὲν γὰρ αὐτῷ συνάψασα μάχην Ἄελλα, καὶ διὰ τὸ τάχος ταύτης τετευχυῖα τῆς προσηγορίας, ὀξύτερον εὗρεν αὐτῆς τὸν ἀντιταχθέντα. Δευτέρα δὲ Φίλιππις εὐθὺς ἐκ τῆς πρώτης συστάσεως καιρίᾳ πληγῇ περιπεσοῦσα, διεφθάρη. Μετὰ δὲ ταῦτα Προθόη συνῆψε μάχην, ἣν ἐκ προκλήσεως ἔφασαν ἑπτάκις νενικηκέναι τὸν ἀντιταξάμενον. Πεσούσης δὲ καὶ ταύτης, τετάρτην ἐχειρώσατο τὴν ὀνομαζομένην Ἐρίβοιαν. Αὕτη δὲ, διὰ τὴν ἐν τοῖς πολεμικοῖς ἀγῶσιν ἀνδραγαθίαν, καυχωμένη, μηδενὸς χρείαν ἔχειν βοηθοῦ, ψευδῆ τὴν ἐπαγγελίαν ἔσχε, κρείττονι περιπεσοῦσα. Μετὰ δὲ ταύτας Κελαινὼ καὶ Εὐρυβία καὶ Φοίβη, Ἀρτέμιδος οὖσαι συγκυνηγοὶ, καὶ διὰ παντὸς εὐστόχως ἀκοντίζουσαι, τὸν ἕνα σκοπὸν οὐκ ἔτρωσαν, ἀλλ' ἑαυταῖς συνασπίζουσαι, πᾶσαι τότε κατεκόπησαν. Μετὰ

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

δὲ ταύτας Δηϊάνειραν καὶ Ἀστερίαν καὶ Μάρπην, ἔτι δὲ Τέκμησσαν καὶ Ἀλκίππην ἐχειρώσατο. Αὕτη δὲ ὀμόσασα παρθένος διαμένειν, τὸν μὲν ὅρκον διετήρησε, τὸ δὲ ζῆν οὐ διεφύλαξεν. Ἡ δὲ τὴν στρατηγίαν ἔχουσα τῶν Ἀμαζονίδων Μελανίππη, καὶ θαυμαζομένη μάλιστα δι᾽ ἀνδρείαν, ἀπέβαλε τὴν ἡγεμονίαν. Ἡρακλῆς δὲ τὰς ἐπιφανεστάτας τῶν Ἀμαζονίδων ἀνελὼν, καὶ τὸ λοιπὸν πλῆθος φυγεῖν συναναγκάσας, κατέκοψε τὰς πλείστας, ὥστε παντελῶς τὸ ἔθνος αὐτῶν συντριβῆναι. Τῶν δὲ αἰχμαλωτίδων Ἀντιόπην μὲν ἐδωρήσατο Θησεῖ, Μελανίππην δὲ ἀπελύτρωσεν, ἀντιλαβὼν τὸν ζωστῆρα.

17. Εὐρυσθέως δὲ προστάξαντος ἆθλον δέκατον, τὰς Γηρυόνου βοῦς ἀγαγεῖν, ἃς νέμεσθαι συνέβαινε τῆς Ἰβηρίας ἐν τοῖς πρὸς τὸν ὠκεανὸν κεκλιμένοις μέρεσιν, Ἡρακλῆς θεωρῶν τὸν πόνον τοῦτον μεγάλης προσδεόμενον κακοπαθείας καὶ παρασκευῆς, συνεστήσατο στόλον ἀξιόλογον, καὶ πλῆθος στρατιωτῶν ἀξιόχρεων ἐπὶ ταύτην τὴν στρατείαν. Διεβεβόητο γὰρ καθ᾽ ὅλην τὴν οἰκουμένην, ὅτι Χρυσάωρ, ὁ λαβὼν ἀπὸ τοῦ πλούτου τὴν προσηγορίαν, βασιλεύει μὲν ἁπάσης Ἰβηρίας, τρεῖς δ᾽ ἔχει συναγωνιστὰς υἱοὺς, διαφέροντας ταῖς τε ῥώμαις τῶν σωμάτων καὶ ταῖς ἐν τοῖς πολεμικοῖς ἀγῶσιν ἀνδραγαθίαις· πρὸς δὲ τούτοις, ὅτι τῶν υἱῶν ἕκαστος μεγάλας ἔχει δυνάμεις, συνεστώσας ἐξ ἀνδρῶν μαχίμων· ὧν δὴ χάριν ὁ μὲν Εὐρυσθεὺς νομίζων δυσέφικτον εἶναι τὴν ἐπὶ τούτοις στρατείαν, προσετετάχει τὸν προειρημένον ἆθλον. Ὁ δ᾽ Ἡρακλῆς ἀκολούθως ταῖς προκατειργασμέναις πράξεσι τεθαῤῥηκότως ὑπέστη τοὺς κινδύνους. Καὶ τὰς μὲν δυνάμεις ἤθροισεν εἰς Κρήτην, κεκρικὼς ἐκ ταύτης ποιεῖσθαι τὴν ὁρμήν· (σφόδρα γὰρ εὐφυῶς ἡ νῆσος αὕτη κεῖται πρὸς τὰς ἐφ᾽ ὅλην τὴν οἰκουμένην στρατείας·) πρὸ δὲ τῆς ἀναγωγῆς τιμηθεὶς ὑπὸ τῶν ἐγχωρίων μεγαλοπρεπῶς, καὶ βουλόμενος τοῖς Κρησὶ χαρίσασθαι, καθαρὰν ἐποίησε τὴν νῆσον τῶν θηρίων. Διόπερ ἐν τοῖς ὕστερον χρόνοις οὐδὲν ἔτι τῶν ἀγρίων ζώων ὑπῆρχεν ἐν τῇ νήσῳ, οἷον ἄρκτων, λύκων, ὄφεων, ἢ τῶν ἄλλων τῶν τοιούτων. Ταῦτα δ᾽ ἔπραξεν, ἀποσεμνύ-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νων τὴν νῆσον, ἐν ᾗ μυθολογοῦσι καὶ γενέσθαι καὶ τραφῆναι τὸν Δία. Ποιησάμενος οὖν τὸν ἐκ ταύτης πλοῦν, κατῆρεν εἰς τὴν Λιβύην, καὶ πρῶτον μὲν Ἀνταῖον, τὸν ῥώμῃ σώματος καὶ παλαίστρας ἐμπειρίᾳ διαβεβοημένον, καὶ τοὺς ὑπ' αὐτοῦ καταπαλαισθέντας ξένους ἀποκτείναντα, προκαλεσάμενος εἰς μάχην, καὶ συμπλακεὶς διέφθειρεν. Ἀκολούθως δὲ τούτοις, τὴν μὲν Λιβύην πλήθουσαν ἀγρίων ζώων, πολλὰ τῶν κατὰ τὴν ἔρημον χώραν χειρωσάμενος, ἐξημέρωσεν· ὥστε καὶ γεωργίαις καὶ ταῖς ἄλλαις φυτείαις ταῖς τοὺς καρποὺς παρασκευαζούσαις πληρωθῆναι, πολλὴν μὲν ἀμπελόφυτον, πολλὴν δὲ ἐλαιοφόρον. Καθόλου δὲ τὴν Λιβύην, διὰ τὸ πλῆθος τῶν κατὰ τὴν χώραν θηρίων ἀοίκητον πρότερον οὖσαν, ἐξημερώσας, ἐποίησε μηδεμιᾶς χώρας εὐδαιμονίᾳ λείπεσθαι. Ὁμοίως δὲ καὶ τοὺς παρανομοῦντας ἀνθρώπους ἢ δυνάστας ὑπερηφάνους ἀποκτείνας, τὰς πόλεις ἐποίησεν εὐδαίμονας. Μυθολογοῦσι δ' αὐτὸν διὰ τοῦτο μισῆσαι καὶ πολεμῆσαι τὸ γένος τῶν ἀγρίων θηρίων καὶ παρανόμων ἀνδρῶν, ὅτι παιδὶ μὲν ὄντι νηπίῳ συνέβη τοὺς ὄφεις ἐπιβούλους αὐτῷ γενέσθαι, ἀνδρωθέντι δὲ πεσεῖν ὑπ' ἐξουσίαν ὑπερηφάνου καὶ ἀδίκου μονάρχου, τοῦ τοὺς ἄθλους προστάσσοντος.

18. Μετὰ δὲ τὸν Ἀνταίου θάνατον παρελθὼν εἰς Αἴγυπτον, ἀνεῖλε Βούσιριν τὸν βασιλέα, ξενοκτονοῦντα τοὺς παρεπιδημοῦντας. Διεξιὼν δὲ τὴν ἄνυδρον τῆς Λιβύης, καὶ περιτυχὼν χώρᾳ καταῤῥύτῳ καὶ καρποφόρῳ, πόλιν ἔκτισε θαυμαστὴν τῷ μεγέθει, τὴν ὀνομαζομένην Ἑκατόμπυλον· ᾗ ἔθετο τὴν προσηγορίαν ἀπὸ τοῦ πλήθους τῶν κατ' αὐτὴν πυλῶν. Διέμεινε δὲ ἡ ταύτης τῆς πόλεως εὐδαιμονία μέχρι τῶν νεωτέρων καιρῶν, ἐν οἷς καὶ Καρχηδόνιοι δυνάμεσιν ἀξιολόγοις καὶ στρατηγοῖς ἀγαθοῖς στρατεύσαντες ἐπ' αὐτὴν, κύριοι κατέστησαν. Ὁ δ' Ἡρακλῆς πολλὴν τῆς Λιβύης ἐπελθὼν, παρῆλθεν ἐπὶ τὸν πρὸς Γαδείροις ὠκεανὸν, καὶ στήλας ἔθετο καθ' ἑκατέραν τῶν ἠπείρων. Συμπαραπλέοντος δὲ τοῦ στόλου, διαβὰς εἰς τὴν Ἰβηρίαν, καὶ καταλαβὼν τοὺς Χρυσάορος υἱοὺς τρισὶ δυνάμεσι μεγάλαις κατεστρατοπεδευκότας ἐκ διαστήματος, πάντας τοὺς ἡγεμόνας ἐκ προκλήσεως ἀνελὼν, καὶ τὴν Ἰβηρίαν χειρωσάμενος, ἀπήλασε τὰς διω-

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

νομασμένας τῶν βοῶν ἀγέλας. Διεξιὼν δὲ τὴν τῶν Ἰβήρων χώραν, καὶ τιμηθεὶς ὑπό τινος τῶν ἐγχωρίων βασιλέως, ἀνδρὸς εὐσεβείᾳ, καὶ δικαιοσύνῃ διαφέροντος, κατέλιπε μέρος τῶν βοῶν ἐν δωρεᾷ τῷ βασιλεῖ. Ὁ δὲ λαβὼν, ἁπάσας καθιέρωσεν Ἡρακλεῖ, καὶ κατ' ἐνιαυτὸν ἐκ τούτων ἔθυεν αὐτῷ τὸν καλλιστεύοντα τῶν ταύρων· τὰς δὲ βοῦς τηρουμένας συνέβη ἱερὰς διαμεῖναι κατὰ τὴν Ἰβηρίαν μέχρι τῶν καθ' ἡμᾶς καιρῶν.

25. . . . . Πορευθεὶς δ' (ὁ Ἡρακλῆς) εἰς τὴν Πελοπόννησον, καὶ τετελεκὼς τὸν δέκατον ἆθλον, ἔλαβε πρόσταγμα παρ' Εὐρυσθέως, τὸν ἐξ ᾅδου Κέρβερον πρὸς τὸ φῶς ἀγαγεῖν. Πρὸς δὲ τοῦτον τὸν ἆθλον ὑπολαβὼν συνοίσειν αὐτῷ, παρῆλθεν εἰς τὰς Ἀθήνας, καὶ μετέσχε τῶν ἐν Ἐλευσῖνι μυστηρίων, Μουσαίου τοῦ Ὀρφέως υἱοῦ τότε προεστηκότος τῆς τελετῆς. . . . .

26. Οὗτος γὰρ (ὁ Ἡρακλῆς) κατὰ τοὺς παραδεδομένους μύθους, καταβὰς εἰς τοὺς καθ' ᾅδου τόπους, καὶ προσδεχθεὶς ὑπὸ τῆς Περσεφόνης, ὡς ἂν ἀδελφὸς, Θησέα μὲν ἀνήγαγεν ἐκ δεσμῶν μετὰ Πειρίθου, χαρισαμένης τῆς Κόρης· τὸν δὲ κύνα παραλαβὼν δεδεμένον, παραδόξως ἀνήγαγε, καὶ φανερὸν κατέστησεν ἀνθρώποις. Τελευταῖον δ' ἆθλον λαβὼν ἐνεγκεῖν τὰ τῶν Ἑσπερίδων χρυσᾶ μῆλα, πάλιν ἔπλευσεν εἰς τὴν Λιβύην. Περὶ δὲ τῶν μήλων τούτων διαπεφωνήκασιν οἱ μυθογράφοι· καί τινες μέν φασιν ἔν τισι κήποις τῶν Ἑσπερίδων ὑπάρξαι κατὰ τὴν Λιβύην μῆλα χρυσᾶ, τηρούμενα συνεχῶς ὑπό τινος δράκοντος φοβερωτάτου· τινὲς δὲ λέγουσι ποίμνας προβάτων κάλλει διαφερούσας κεκτῆσθαι τὰς Ἑσπερίδας· χρυσᾶ δὲ μῆλα ἀπὸ τοῦ κάλλους ὠνομάσθαι ποιητικῶς, ὥσπερ καὶ τὴν Ἀφροδίτην χρυσῆν καλεῖσθαι διὰ τὴν εὐπρέπειαν. Ἔνιοι δὲ λέγουσιν ὅτι πρόβατα τὴν χρόαν ἰδιάζουσαν ἔχοντα καὶ παρόμοιον χρυσῷ, τετευχέναι ταύτης τῆς προσηγορίας· δράκοντα δὲ τῶν ποιμνίων ἐπιμελητὴν καθεσταμένον, καὶ ῥώμῃ σώματος καὶ ἀλκῇ διαφέροντα, τηρεῖν τὰ πρόβατα, καὶ τοὺς ληστεύειν αὐτὰ τολμῶντας ἀποκτείνειν. Ἀλλὰ περὶ μὲν τούτων ἔξεσται διαλαμβάνειν ὡς ἂν ἕκαστος ἑαυτὸν πείθῃ. Ὁ δ' Ἡρακλῆς τὸν φύλακα τῶν μήλων ἀνελὼν, καὶ ταῦτα ἀποκομίσας πρὸς Εὐρυσθέα,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

καὶ τοὺς ἄθλους ἐπιτετελεκώς, προσεδέχετο τῆς ἀθανασίας εὔξασθαι, καθάπερ ὁ Ἀπόλλων ἔχρησεν.

## ΟΙ ΗΡΑΚΛΕΙΔΑΙ.

57. . Μετὰ τὴν Ἡρακλέους (τοίνυν) ἀποθέωσιν οἱ παῖδες αυτοῦ κατῴκουν ἐν Τραχῖνι παρὰ Κήϋκι τῷ βασιλεῖ. Μετὰ δὲ ταῦτα Ὕλλου καί τινων ἑτέρων ἀνδρωθέντων, Εὐρυσθεὺς φοβηθεὶς μὴ πάντων ἐνηλίκων γενομένων, ἐκπέσῃ τῆς ἐν Μυκήναις βασιλείας, ἔγνω τοὺς Ἡρακλείδας ἐξ ὅλης τῆς Ἑλλάδος φυγαδεῦσαι. Διὸ Κήϋκι μὲν τῷ βασιλεῖ προηγόρευσε τούς τε Ἡρακλείδας καὶ τοὺς τοῦ Λικυμνίου παῖδας ἐκβαλεῖν· ἔτι δὲ Ἰόλαον, καὶ τὸ σύστημα τῶν Ἀρκάδων, τῶν Ἡρακλεῖ συνεστρατευκότων· ἢ ταῦτα μὴ ποιοῦντα, πόλεμον ἀναδέξασθαι. Οἱ δ' Ἡρακλεῖδαι καὶ οἱ μετ' αὐτῶν, θεωροῦντες αὐτοὺς οὐκ ἀξιομάχους ὄντας Εὐρυσθεῖ πολεμεῖν, ἔγνωσαν ἑκουσίως φεύγειν ἐκ τῆς Τραχῖνος· ἐπιόντες δὲ τῶν ἄλλων πόλεων τὰς ἀξιολωγοτάτας ἐδέοντο παραδέξασθαι σφᾶς αὐτοὺς συνοίκους. Μηδεμιᾶς δὲ τολμώσης ὑποδέξασθαι, μόνοι τῶν ἄλλων Ἀθηναῖοι, διὰ τὴν ἔμφυτον αὐτοῖς ἐπιείκειαν, προσεδέξαντο τοὺς Ἡρακλείδας· κατῴκισαν δὲ αὐτοὺς μετὰ τῶν συμφυγόντων εἰς Τρικόρυνθον, ἥτις ἐστὶ μία τῆς ὀνομαζομένης Τετραπόλεως. Μετὰ δέ τινα χρόνον ἁπάντων τῶν Ἡρακλέους παίδων ἠνδρωμένων, καὶ φρονήματος ἐμφυομένου τοῖς νεανίσκοις διὰ τὴν ἀφ' Ἡρακλέους δόξαν, ὑφορώμενος αὐτῶν τὴν αὔξησιν Εὐρυσθεύς, ἐστράτευσεν ἐπ' αὐτοὺς μετὰ πολλῆς δυνάμεως. Οἱ δ' Ἡρακλεῖδαι, βοηθούντων αὐτοῖς τῶν Ἀθηναίων, προστησάμενοι τὸν Ἡρακλέους ἀδελφιδοῦν Ἰόλαον, καὶ τούτῳ τε καὶ Θησεῖ καὶ Ὕλλῳ τὴν στρατηγίαν παραδόντες, ἐνίκησαν παρατάξει τὸν Εὐρυσθέα. Κατὰ δὲ τὴν μάχην πλεῖστοι μὲν τῶν μετ' Εὐρυσθέως κατεκόπησαν, αὐτὸς δ' Εὐρυσθεύς, τοῦ ἅρματος κατὰ τὴν φυγὴν συντριβέντος, ὑπὸ Ὕλλου τοῦ Ἡρακλέους ἀνῃρέθη. Ὁμοίως δὲ καὶ οἱ υἱοὶ τοῦ Εὐρυσθέως πάντες κατὰ τὴν μάχην ἐτελεύτησαν.

58. Μετὰ δὲ ταῦτα, οἱ μὲν Ἡρακλεῖδαι πάντες περιβοήτῳ μάχῃ νενικηκότες τὸν Εὐρυσθέα, καὶ διὰ τὴν εὐημερίαν συμμάχων εὐπορήσαντες, ἐστράτευσαν ἐπὶ τὴν Πελοπόννη-

Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

σον, Ὕλλου στρατηγοῦντος. Ἀτρεὺς δὲ μετὰ τὴν Εὐρισθέως τελευτὴν καταβαλόμενος τὴν ἐν Μυκήναις βασιλείαν, καὶ προσλαβόμενος συμμάχους Τεγεάτας, καί τινας ἄλλους, ἀπήντησε τοῖς Ἡρακλείδαις. Κατὰ δὲ τὸν Ἰσθμὸν τῶν στρατοπέδων ἀθροισθέντων· Ὕλλος μὲν ὁ Ἡρακλέους εἰς μονομαχίαν προεκαλέσατο τῶν πολεμίων τὸν βουλόμενον, ὁμολογίας θέμενος τοιαύτας· εἰ μὲν Ὕλλος νικήσει τὸν ἀντιταχθέντα, παραλαβεῖν Ἡρακλείδας τὴν Εὐρυσθέως βασιλείαν· εἰ δὲ Ὕλλος λειφθείη, μὴ κατιέναι τοὺς Ἡρακλείδας εἰς Πελοπόννησον ἐντὸς ἐτῶν πεντήκοντα. Καταβάντος δ' εἰς τὴν πρόκλησιν Ἐχέπου τοῦ βασιλέως τῶν Τεγεατῶν, καὶ τῆς μονομαχίας γενομένης, ὁ μὲν Ὕλλος ἀνῃρέθη, οἱ δὲ Ἡρακλεῖδαι κατὰ τὰς ὁμολογίας ἀπέστησαν τῆς καθόδου, καὶ τὴν εἰς Τρικόρυνθον ἐπάνοδον ἐποιήσαντο. Μετὰ δέ τινας χρόνους, Λικύμνιος μὲν μετὰ τῶν παίδων, καὶ Τληπόλεμος ὁ τοῦ Ἡρακλέους, ἑκουσίως τῶν Ἀργείων αὐτοὺς προσδεξαμένων, ἐν Ἄργει κατῴκησαν. Οἱ δ' ἄλλοι πάντες ἐν Τρικορύνθῳ κατοικήσαντες, ὡς ὁ πεντηκονταετὴς χρόνος διῆλθε, κατῆλθον εἰς Πελοπόννησον· ὧν τὰς πράξεις ἀναγράψομεν, ὅταν εἰς ἐκείνους τοὺς χρόνους παραγενηθῶμεν. Ἀλκμήνη δ' εἰς Θήβας καταντήσασα, καὶ μετὰ ταῦτα ἄφαντος γενομένη, τιμῶν ἰσοθέων ἔτυχε παρὰ τοῖς Θηβαίοις. Τοὺς δ' ἄλλους Ἡρακλείδας φασὶν ἐλθόντας παρ' Αἰγίμιον τὸν Δώρου, τὴν πατρῴαν τῆς χώρας παρακαταθήκην ἀπαιτήσαντας, μετὰ Δωριέων κατοικῆσαι. Τληπόλεμον δὲ τὸν Ἡρακλέους ἐν Ἄργει κατοικοῦντα λέγουσιν ἀνελεῖν Λικύμνιον τὸν Ἠλεκτρύωνος, ἐρίσαντα περί τινων, διὰ δὲ τὸν φόνον τοῦτον ἐξ Ἄργους φυγόντα εἰς Ῥόδον κατοικῆσαι. Τὴν δὲ νῆσον ταύτην τότε κατῴκουν Ἕλληνες οἱ ὑπὸ Τριόπα τοῦ Φόρβαντος κατοικισθέντες. Τὸν δ' οὖν Τληπόλεμον κοινῇ μετὰ τῶν ἐγχωρίων τριμερῆ ποιῆσαι τὴν Ῥόδον, καὶ τρεῖς ἐν αὐτῇ καταστῆσαι πόλεις, Λίνδον, Ἰήλυσον, Κάμιρον· βασιλεῦσαι δ' αὐτὸν πάντων τῶν Ῥοδίων, διὰ τὴν τοῦ πατρὸς Ἡρακλέους δόξαν, καὶ κατὰ τοὺς ὕστερον χρόνους μετ' Ἀγαμέμνονος ἐπὶ τὴν Τροίαν στρατεῦσαι.

ΤΕΛΟΣ ΤΟΥ Α'. ΤΟΜΟΥ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου

— Περὶ τινῶν ἐνδοτέρων τυπογραφικῶν παροραμάτων ὅρα ἐν τῷ τέλει τοῦ δευτέρου Τόμου.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική Βιβλιοθήκη Ναυπάκτου



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Παπαχαραλάμπειος Δημόσια Κεντρική
Βιβλιοθήκη Ναυπάκτου